πολεμῶ-έω (πόλεμος) κ.μσν. κ. νεώτ., δημ. **-ῶ-άω,** ἰων. θαμιστ. **πολεμέεσκε,** μέλλ. **-ήσω,** παρακ. πεπολέμηκα, μέσ. ἀόρ. **ἐπολεμησάμην,** παθ. μέλλ. πολεμηθήσομαι, ἀόρ. **ἐπολεμήθην,** παρακ. πεπολέμημαι, ἄνευ ἀντικ. ἐπιχειρῶ, ἀναλαμβάνω, διεξάγω πόλεμον, κατέρχομαι εἰς πόλεμον, δθ. κ. διατελῶ ἐν πολέμῳ : Θουκ.1,124 **καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν,** αὐτ.140 **ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν ἔργῳ πράσσοντας..,** ΚΔ 'Απ.12,7 **καὶ ὁ δράκων ἐπολέμησε,** αὐτ.'Ιακ.4,2,· **αἱ Ἕλληνες ἐπὶ γενεὰς πολεμοῦντες ἀνέκτησαν τὴν ἐλευθερίαν των, - στὸν καιρὸ ποὺ πολεμούσαμε, - γέρασε πολεμώντας·** || κ. κτ. ἀντίθ. πρὸς τὸ εἰρήνην ἄγω : αὐτ.5,76 **δύο λόγω φέρων ἐς τὸ Ἄργος, τὸν μὲν καθότι εἰ βούλονται πολεμεῖν, τὸν δὲ ὡς εἰ εἰρήνην ἄγειν·** || κ. παθ. ὑφίσταμαι πόλεμον : Δημ.240 **ἦγον τὴν εἰρήνην ἄσμενος.. ἐκ πολλοῦ πολεμούμενοι·** || κ. μτ. συστ. αἰτ. : Πλάτ.Πολ. 551D **πόλεμόν τινα πολεμεῖν διὰ τὸ ἀναγκάζεσθαι,** 'ΑριστΛ.Ρητ.1396a,11· || ὁμ. κ. παθ. : Ξεν. 'Απομν.3,5,10 (πολέμους) **τοὺς ἐπὶ Θησέως πολεμηθέντας,** αὐτ.'Ελλ.5,1 **κατὰ θάλατταν ὁ πόλεμος ἐπολεμεῖτο,** Πλάτ.Μεν.243Ε **ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως ἐπολεμήθη·** **2)** μτ. δοτ. ἀντικειμ. ἢ μτ. ἐμπροθ. διορ. (πρός τινα, κατά τινος, μτγν. κ. ἐπί τινα, νεώτ. κ. ἐναντίον τινός, δημ. μὲ τινα) ὁμ. δηλοῦντος τὸ ἀντικειμ. : 'Ηρ.6,37 **ὁ Μιλτιάδης.. πρώτοισι ἐπολέμησε Λαμψακηνοῖσι,** Ξεν. Προσ.5,8 **πολεμοῦσαι πρὸς ἀλλήλας πόλεις,** Πλάτ.Νόμ.686Β, 'Επιγρ.· || παθ. μτ. ἐμπροθ. διορ. **π- ὑπό τινος :** 'Ισοκρ.5,49· **3)** **πολεμεῖν μετά τινος ἢ σύν τινι ὁμοῦ μετά τινος,** μὲ τὴ συντροφιὰ κάποιου, μαζὶ μὲ κάποιον : Ξεν.'Ελλ.7,1,27 **ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων,** αὐτ.2,6,5 **ἀπῆλθεν ὡς ξὺν ἐκείνῳ αὖ πολεμήσων·** || μτγν. (ΚΔ), μσν. κ. νεώτ. ἐνίοτε **πολεμεῖν μετά τινος** πολεμεῖν ἐναντίον τινός : ΚΔ 'Απ.13,4 **τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ** (ἐναντίον)· **4)** κ. μσν. κ. νεώτ. **πολεμεῖν περί τινος,** νεώτ. κ. δημ. κ **διά τι** πρὸς κτῆσιν, πρὸς ἐπίτευξίν τινος : 'Ηρ.6,98 **τῶν κορυφαίων περὶ τῆς ἀρχῆς πολεμεόντων, - οἱ Ἕλληνες ἐπολέμησαν διὰ τὴν ἐλευθερίαν των·** **5)** μτβ. μτ. αἰτ. **πολεμεῖν τὴν πόλιν :** Δειν.1,36, Διόδ.Σ 4,61 **πολεμεῖν τὰς Ἀθήνας,** Πολίτ.'ΕκλΛ.Τραγ.15,6 **γιατὶ σηκώθη πόλεμος καὶ πολεμᾶν τοὺς Τούρκους·** || **κ. παθ. ὑφίσταμαι ἐπίθεσιν** πολεμικὴν κ. εἰδ. πολιορκοῦμαι : Καισάρ.Δαπ. ἐν Σάθ.3,11 **τὸ κάστρον.. τὸ ὁποῖον ἐπολεμεῖτο πρὸ εἴκοσι τριῶν χρόνων·** || κ μτφ. : 'Αλκίφρ.3,22 **πολεμεῖν τὰς σταφυλάς·** ὁμ. παθ. : Θουκ.1,37, Ξεν.'Ελλ.7,4,20· **6)** μάχομαι : Πλάτ.Πρωτ.350Α **τίνες δὲ ἀπὸ τῶν ἵππων πολεμεῖν θαρραλέοι εἰσί;·** κ ἐμπροθ. : Ξεν. ΚΠ 7,1,49 **ὡς πολεμήσων ἀπὸ τούτων** (τῶν καμήλων) ὁμ. κ. μτ. προσδιορ. δηλοῦντος τὸ μέσον : 'Ανδοκ.3,16 **ἀφ' ὅτου πολεμήσωμεν** (διὰ τίνων μέσων)· **7)** φιλονικῶ, ἐρίζω πρός τινα, τσακώνομαι μὲ κάποιον : Ξεν.ΚΠ 1,3,11 **ἀλλὰ τί ποτε σύ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς;,** Δημ.236 **ὑπὲρ οὗ.. ὁμολογῶ καὶ πολεμεῖν καὶ διαφέρεσθαι τούτοις·** **8)** ἀντιτίθεμαι, ἀντιδρῶ κατά τινος, προσπαθῶ ν' ἀπαλλαγῶ ἀπό τινος, ἀναφ. πρὸς καταστάσεις : Σοφ.ΟΚ 191 **καὶ μὴ χρείᾳ πολεμῶμεν,** Εὐρ.'Ιων 1386 **τοῦ θεοῦ προθυμίᾳ πολεμῶ·** κ. νεώτ. **πολεμοῦμεν κατὰ τῆς διαφθορᾶς τῶν ἠθῶν - τῆς ἀγραμματοσύνης, -** ἡ **κυβέρνησις πολεμᾷ κατὰ τοῦ κομμουνισμοῦ·** νεώτ. κ. δημ. κ.μτ. αἰτ. τοῦ ἀντικειμ. : Ποπαντ.'Αγ.'Ορ.61 **πολέμησε καὶ ματαίωσε τὶς κοινωνικὲς μεταρρυθμίσεις·** **9)** ἐν εἰδ. μτφ. χρ. ἀναφ. πρὸς νόσον, καταπολεμῶ : Γαλ.1,103,**-ἡ χρῆσις τῆς κινίνης πολεμᾷ τὴν ἑλονοσίαν·** **10)** μσν.κ.δημ. προσπαθῶ, καταβάλλω ἀγῶνα, ἔντονον προσπάθειαν ὅπως ἐπιτύχω τι : 'Ερωτόκρ.2,1888 **καὶ ἐπολέμα γλήγορα χάμαι νὰ τὸν ἐβάλῃ,** Σολωμ.'Ανάμνησις 14 **νὰ τὸ μάτι ποὺ τὸν ἥλιο | πολεμάει νὰ ματαΐδῇ, - πολέμησε νὰ τὸν πείσῃ μὰ δὲν μπόρεσε, -** πολεμᾷ **νὰ τὴν καταφέρῃ** (περὶ γυναικός)· **11)** δημ μοχθῶ, κοπιάζω ἐργαζόμενος : Παλαμ.Παράκ 16,13 **στ' ἀργαστήρι δουλεύω χρυσικός,** πολεμῶ, παροιμ. **ὅγιος πολεμᾷ δὲ χάνει** (ὁ ἐργαζόμενος πάντοτε ὠφελεῖται), φρ. καλῶς **τὰ πολεμᾶτε** (προσφώνησις, πρόσρησις πρὸς ἐργαζομένους).
πολεμῶ-όω (2) (πόλεμος) ποιῶ τινα πολέμιόν τινι, καθιστῶ τινα ἐχθρὸν πρός τινα, ἐχθροποιῶ, ἐχθραίνω τινά· Σουΐδ. «πολεμῶσαι, πολέμιον καταστῆσαι : ΠΔ Μακκ.4,4,21 **ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν τοι τὸν Ἀντίοχον ἐπολέμωσεν** (δ.γρ. ἀντὶ ἐπολέμησεν)· κ παθ γίνομαι, καθίσταμαι ἐχθρὸς πρός τινα : Θουκ.1,36 **ἐνδοιάζῃ χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται,** αὐτ 57 **ἐπεπολέμωτο ξύμμαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώθη δέ, ὅτι Φιλίππῳ.. ξυμμαχίαν ἐποιήσαντο·** || τὸ μέσ. **πολεμοῦμαι** καθιστῶ τινα πολέμιον, ἐχθρὸν ἐμαυτῷ : Θουκ.5,93 **πῶς οὐ πολεμώσεσθε αὐτούς** (πῶς οὐ πολεμίους ὑμῖν αὐτοῖς ποιήσεσθε;).
πολεμώδης-ους-ες μτγν. ὁ ἀνήκων ἢ ἀνοφερόμενος εἰς τὸν πόλεμον, ὁ τοῦ πολέμου : 'Ολυμπ. Γορ.114J **πολεμώδης παροιμία.**
πολεμώνιον (τὸ) μτγν., μσν. κ. νεώτ. τὸ φυτὸν ὑπερικὸν τὸ ὀλυμπικόν : Διοσκ.4,8· **2)** νεώτ. βοταν. γένος **πολεμωνοειδῶν** ποωδῶν φυτῶν **3)** μσν. ἀ. πολεμώνιος βλ.λ. βοτάνη : 'Ιππιατρ.32 **πολεμώνιον τὸ ἐν τοῖς ἕλεσι τικτόμενον.**
πολεμώνιος ἡ πολεμωνία **βοτάνη** (ἡ) μσν. τὸ ποῶδες, πολυετές, ἀρωματικὸν καὶ μυριστικὸν φυτὸν ἡδύοσμος ὁ ἄγριος : 'Ιππιατρ.32 **ἡ πολεμώνιος βοτάνη,** αὐτ.86 **πολεμωνία βοτάνη.**
πολέντα (ἡ) (λατ.) νεώτ π. Ρωμαίοις, εἶδος χυλώδους ζωμοῦ κατασκευαζομένου ἐξ ἀλεύρου κριθῆς, κόκκων λίνου καὶ κοριάνδρου· **2)** χυλὸς ἐξ ἀλεύρου ἀραβοσίτου.
πολεοδομία (ἡ) νεώτ. κ. **πολεοδομική** ἡ τεχνικὴ τῆς σχεδιάσεως, ἀνεγέρσεως, ἐπεκτάσεως, διαρρυθμίσεως καὶ συντηρήσεως τῶν πόλεων, ἀ. μηχανικὴ τῶν πόλεων, οὐρμπανισμὸς βλ.λ.ΙΙ.
πολεοδομική (ἡ) νεώτ. ἀ. πολεοδομία βλ.λ.
πόλερ (ὁ) 'Επιγρ. 'Ηλείας ἀντὶ πόλις.

πολεύω (πρβλ. πόλος, πολῶ, πέλω) ἀμτβ. περιστρέφομαι, περιφέρομαι, κινοῦμαι περί τι, διαμένω, διατρίβω που : Ὀδ.Χ 223 **οὐδὲ θύγατρας οὐδ᾽ ἄλοχον . . Ἰθάκης κατὰ ἄστυ πολεύειν·** || εἰδ. ἀστρολ. ὁ **πολεύων** ὁ ἐπί τινα ἡμέραν κυριαρχῶν πλανήτης : Σεραπ. ἐν Κατ.Ἀστρλ.Κ 1,99, Παῦλ.Ἀλ.1 3, Πάπ.· || ὁμ. ἐπὶ τῶν πλανητῶν θεωρουμένων ὡς ὀχημάτων τῶν θεῶν : Πάπ. **ὄφη τοὺς πολεύοντας ἀναβαίνοντας εἰς οὐρανὸν θεούς, ἄλλους δὲ καταβαίνοντας·** πρβλ. Ἰάμβλ. Μυστ.3,30· **2)** μτβ. μεταστρέφω, ἀνασκάπτω δι᾽ ἀρότρου τὴν γῆν, ἀροτριῶ, ὀργώνω : Σοφ.Ἀντ. 340 **Γᾶν . . ἱππείῳ γένει πολεύων,** Ῥήτ.1,498 **αὔλακος, ἣν . . οὐκ ἐπόλευε βοῦς.**

πόλεων γενικ. πληθ. τοῦ πόλις βλ.λ..

πολέων ἰων. γενικ. πληθ. τοῦ πολὺς βλ.λ.

πόλη (ἡ) δημ. ἀντὶ πόλις βλ.λ.· || ὡς κύρ. ὄνομα Πόλη ἡ Κωνσταντινούπολις, ὡς ἡ κατ᾽ ἐξοχὴν πόλις : **καὶ στὴν Πόλη** (εὐχή)· || παροιμ. **ἀπὸ τὴν Πόλη ἔρχομαι καὶ στὴν κορφὴ καννέλλα** (ἐπὶ ἀσυναρτησιῶν).

πόληες, πόληος, **πόληι** πτώσεις τοῦ πόλις βλ.λ.

πολῆον (τὸ) πάπ. πιθ. ἐσφ. ἀντὶ πωλίον βλ.λ.

πολῆμι (τὸ) δημ. κ. **πολῆνι** τὸ ὑπὸ τὸν ληνὸν κοῖλον κτίσμα τὸ δεχόμενον τὸ γλεῦκος, τὸ ὑπολήνιον, ἄ. ποδόχι.

πόλησις-εως (ἡ) (πολῶ) περιστροφικὴ κίνησις, περιστροφή : Πλάτ.Κρατ.405C **τὴν ὁμοῦ πόλησιν καὶ περὶ τὸν οὐρανόν.**

πολιά (ἡ) ἡ πολιότης τῶν τριχῶν, τῆς κόμης, οἱ ἄσπρες τρίχες : Μέν.Μον.705 **πολιὰ χρόνου μήνυσις, οὐ φρόνησις,** ΠΔ Μακκ.4,7,15 **ὦ μακαρίου γήρως, καὶ σεμνῆς πολιᾶς,** Πλούτ.Ἠθ.41B **πολιὰ τοῦ λέγοντος καὶ πλάσμα καὶ ὀφρῦς . . συνεκπλήττει τὸν ἄπειρον ἀκροατήν,** Χορίκ.15B· || ὁμ. ὡς προερχομένη ἐξ ἀσθενείας τῶν τριχῶν : Ἀριστλ.ΖΓ 784b,13 **καὶ γὰρ ἐκ νόσων πολλοῖς πολιαὶ ἀνέφυσαν,** αὐτ.Πρ.894b,9, αὐτ.ἀπ.235· **2)** συνεκδ. ἡ γεροντικὴ ἡλικία, τὸ γῆρας, τὰ γερατειά : Ἀγαθ. ΑΠ 5,219 **εἰ καὶ νῦν πολιή σε κατεύνασε, καὶ τὸ θαλυκρὸν κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης·** **3)** ὁμ. συγκεκρ. οἱ γέροντες : Χορίκ. εἰς Λιβάν.4,516R **πολλῆς μὲν νεότητος, πολλῆς δὲ πολιᾶς εἰσιούσης.**

πολιάζω σχόλ. ἀμτβ. ἐπὶ τριχῶν, γίνομαι, καθίσταμαι πολιός : Σχόλ.Καλλ.Ἀπόλλ.14 **πολιάσαι.**

πολιαίνομαι (πολιός) ποθ. ἐπὶ τῆς ἀφριζούσης θαλάσσης, λευκαίνομαι : Αἰσχ.Πέρσ.110 **θαλάσσας πολιαινομένας πνεύματι λάβρῳ.**

πολιάνθη (ἡ) Ἐπιγρ. μύρον λαμβανόμενον ἐκ τοῦ φυτοῦ πολίου βλ.λ.

πολιανίτης (ὁ) νεώτ. ὑπεροξίδιον τοῦ μαγγανίου, κρυσταλλούμενον εἰς τὸ τετραγωνικὸν σύστημα, ἀπαντῶν σπανίως ἐν Λαυρείῳ.

πολιανόμος (ὁ) (πόλις, νέμω) μτγν. ἀστικός τις ἄρχων ἐντεταλμένος τὰ ἀστυνομικὰ καθήκοντα : Ἡρακλεωτ.Πίν.1,95 **ἁ πόλις καὶ τοὶ πολιανόμοι·** **2)** ἀστυνόμος, ἀγορανόμος : Δίων Κ 48 **οἱ πολιανόμοι πάντα τὰ ἐν τῷ ἄστει πράγματα . . ἔσχον.**

πολιανομῶ-έω ἀσκῶ τὰ καθήκοντα τοῦ πολιανόμου βλ.λ.1) : Πλάτ.363C **Τίσωνος δ᾽ ἐστι κηδεστής, ὅς τότε δθ᾽ ἡμεῖς ἀπεπλέομεν ἐπολιανόμει·** **2)** εἶμαι πολιανόμος βλ λ.2) : Δίων Κ 43,48 **τοὺς . . θησαυροὺς τοὺς δημοσίους δύο τότε τῶν πολιανομούντων διῴκησαν.**

πολιάοχος-ον δωρ. τ. τοῦ πολιήοχος βλ.λ.:Πίνδ. Ο 5,10 **καὶ Πέλοπος παρ᾽ Εὐσταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεόν.**

πολιάρχης (ὁ) Ἐπιγρ. πολίαρχος, ἐπὶ τοῦ Διός.

πολιαρχία (ἡ) μτγν. κ. μσν. ἡ τιμὴ ἢ τὸ ἀξίωμα τοῦ πολιάρχου βλ.λ. : Θεμίστ.Λόγ.17,214B, αὐτ.18, 224B, Θεοφύλ.Σ Ἱστ.96,15.

πολιαρχικός-ή-όν μσν. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν πολίαρχον βλ.λ., ὁ τοῦ πολιάρχου : Βί.Μαξ.Conf.1,66 **πολιαρχικῷ πραιτωρίῳ.**

πολίαρχος (ὁ) θεσσ. **πτολίαρχος** (Ἐπιγρ.) ὁ ἄρχων, ἡγεμὼν πόλεως : Πίνδ.Ν 7,85 **πολιάρχῳ πάτρᾳ,** Εὐρ.Ῥῆσ.382· **2)** ἐπίτροπος τῶν ὑπάτων ἢ ἔπαρχος, ἀπόδοσ. τοῦ λατ. **praefectus urbi** : Δίων Κ 40,46, Ἰω.Λυδ.Ἀρχ.1,49· || κ. ὡς ἐπίθ. : αὐτ.Ῥωμ.2,19 **πολίαρχος ἐξουσία.**

πολιαρχῶ-έω μτγν. εἶμαι πολίαρχος βλ.λ.2) : Δίων Κ 53,33, Μάλχ.410D, Ἰω.Λυδ.Ῥωμ.3,38.

πολιάς-άδος (ἡ) (1) (πόλις), δοτ. **πολιῖάδι** (Ἐπιγρ. Ἄργους) ἡ τῆς πόλεως προστάτις, πολιοῦχος, ἐπωνυμία τῆς Ἀθηνᾶς τῆς λατρευομένης ἐν τῷ ἀρχαιοτάτῳ αὐτῆς ναῷ ἐν τῇ Ἀκροπόλει, κατὰ διαστολὴν ἀπὸ τῆς Ἀθηνᾶς Παρθένου καὶ Ἀθηνᾶς Προμάχου : Ἡρ.5,82 **ἀπάξουσι ἔτεος ἑκάστου τῇ Ἀθηναίῃ τε τῇ Πολιάδι ἱρά,** Σοφ.Φιλ.134 **Νίκη τ᾽ Ἀθάνα Πολιάς, ἣ σώζει μ᾽ ἀεί,** Ἀριστφ.Ὄρν. 828, Ἐπιγρ.· || κ. ἁπλῶς Πολιάς (ἡ) : Λουκ.Ἀλ. 21 **ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν·** || ὁμ. ὡς ἐπίθ. τῆς Ἀθηνᾶς λατρευομένης ἐν Ἄργει : Ἐπιγρ.· || ὁμ. κ. ἐν Ἀμοργῷ : αὐτ.· || κ. ἐν Τροιζῆνι : Παυσ.2,30,6 **Ἀθηνᾶν τε σέβουσι Πολιάδα·** || κ. ἐν Ἐρυθραῖς : αὐτ.7,5,9.

πολιάς-άδος (ἡ) (2) μτγν. ὀνώμ. θηλ. τοῦ πολιὸς βλ.λ. : Λουκ.Λεξιφ.12 **ἡ γυνὴ αὐτοῦ πρεσβῦτις ἤδη καὶ τὴν κεφαλὴν πολιάς.**

πολιάτας (ὁ) αἰολ. κ. δωρ. τ. τοῦ πολιήτης βλ.λ., ἀντίθ. ξένος : Ἀλκ.Συμπλ.14,6, αὐτ.ἀπ. ἐν Πάπ., Πίνδ.Ι 1,51 **πολιατᾶν καὶ ξένων γλώσσας ἄωτον,** Νόμ.Γόρτ.10,35, Ἰσυλλ.21.

πολιατεύω εἶμαι πολίτης : Νόμ.Γόρτ.9,33.

πολιᾶτις-ιδος (ἡ) πολιάς βλ.λ.1), ἐπίθετον τῆς Ἀθηνᾶς ἐν Τεγέᾳ : Παυσ.8,47,5 **Τεγεάταις δέ ἐστι καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς Πολιάτιδος.**

πολιᾶχος (ὁ) Ἐπιγρ. λακων τ. τοῦ πολιάοχος βλ.λ.: Ἐπιγρ.Σπάρτης.

πολίδιον (τὸ) μτγν. δ.γρ. τοῦ πολείδιον βλ λ. : Στράβ 8,3,15 **ὅμορα ἦν τῷ Πύλῳ δύο πολίδια.**

πολίεθρον (τὸ) κοινὸς τ. τοῦ πτολίεθρον βλ.λ.· πρβλ. πόλις, πτόλις.

πολιεύς-έως-ῶς (ὁ) (1), δοτ.**πολιῆ** (Ἐπιγρ.), ἰων. **πολιηύς** (αὐτ. Θείρων) προστάτης τῆς πόλεως, πολιοῦχος, ἐπίθετον τοῦ Διός : Ἀριστλ.Κόσ 401a,19, Παυσ.1,24,4 **τοῦ Διὸς τοῦ Πολιέως κριθὰς καταθέντες ἐπὶ τὸν βωμόν,** Κορνοῦτ.Φύσ Θε.9.

πολιεύς-έως (ὁ) (2) μτγν. ὁ ἔχων πολιὰν κόμην σεβαστὸς γέρων : Κλήμ.Ἀλ.262 **οἱ δὲ τὸ πρεσβεῖον τῆς ἡλικίας, τὸν πολιέα, καταισχύνουσιν.**

πολίζω (πόλις) κ. μσν., ἐπ. ἀόρ. (ἐ)**πόλισσα** (Ἰλ.Η 453, Ἀπολλ.Ρ 1,178), οἰκοδομῶ, κτίζω, ἱδρύω πόλιν, ὅθ. γεν. κτίζω, ἀνεγείρω : Ἰλ.Η 453 **τὸ** (τεῖχος) **ἐγὼ καὶ Φοῖβος Ἀπόλλων ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε,** Ἑλλ.Ἐπιγράμμ.982 **ἣν ἐπόλισσεν** (τὴν πάτρην)· κ. παθ. : Ἰλ.Υ 217 **ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ ἐν πεδίῳ πεπόλιστο,** Ἡσίοδ.ἀπ.134,5 **Δωδώνη πεπόλισται,** Ἡρ.4,108. αὐτ.5,52, Φιλόστρ. Ἀπολλ.6,25 **ἐφ᾽ ἁμαξῶν πεπολισμένοι·** || ἐν τῷ μέσ. τ. **πολίζομαι** κτίζω, οἰκοδομῶ δι᾽ ἐμαυτόν, πρὸς ὠφέλειάν μου : Ἀπολλ.Ρ 1,1346, Διον Ἀλ Ῥωμ. 1,30 **τὴν Ῥώμην σὺν τοῖς ἄλλοις ἐπολίσαντο·** **2)** κατοικίζω, οἰκίζω, καθιστῶ τόπον τινὰ πόλιν : Ξεν.Ἀν.6,6,4 **ἀκούοντες ὅτι οὗτος πολίζει τὸ χωρίον,** Στράβ 8,5,4, Πλούτ.Ῥωμ.9 **ἐβούλετο πολίζειν τὸν τόπον,** Μηναῖ.12,5, Ἐξαποστ. **τὴν ἔρημον ἐπόλισας τρόποις ἐν φιλοσόφοις·** κ. παθ. : Ἡρ.5,13 **εἴη ἡ Παιονίη ἐπὶ τῷ Στρυμόνι ποταμῷ πεπολισμένη.**

πολιήοχος-ον ἐπ. τ. τοῦ πολιοῦχος βλ.λ.

πολιήτης-εω (ὁ), θηλ. **πολιῆτις-ιδος** (Ἀπολλ.Ρ 1,871), ἐπ. κ. ἰων. τ. τοῦ πολίτης βλ.λ. : Ἰλ.Β 806 **τῶν δ᾽ ἐ-**

ξηγείσθω, κασμησάμενος πολιήτας, Σιμων.137, Αἰσχ.Πέρσ.556 τίπτε Δαρεῖος μὲν οὕτω τότ᾽ ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήτης [δ.γρ. πολιάτας], Εὐρ.᾽Ηλ.119· 2) συμπολίτης, ὁμοεθνής: ᾽Ηρ.1,37 κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι, αὐτ. 120· 3) τὸ θηλ. πολιῆτις ὡς ἐπίθ. ἡ τῆς πατρίδος: Εὐρ.᾽Ιππ.1126 ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς δρυμός τ᾽ ὄρειος.

πολιήτωρ-ορος (ὁ) μτγν. ὁ πολιήτης βλ.λ.1): Χρησμ.Σιβ.5,5 τὸν Πέλλης πολιήτορα.

πολικλινική (ἡ) (πόλις, κλίνη) νεώτ. κλινικὴ τῆς πόλεως, ἀστυκλινικὴ βλ.λ. (ἐσφ.γρ. πολυκλινική).

πολικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν πόλον ἢ τοῦ πόλου ἢ τῶν πόλων: πολικὴ ἡμέρα (τὸ χρονικὸν διάστημα, καθ᾽ ὃ ὁ ῞Ηλιος παραμένει συνεχῶς ὑπεράνω τοῦ ὁρίζοντος παρατηρητοῦ ἱσταμένου ἐπὶ τοῦ πόλου)· ‖ πολικὴ νὺξ τὸ ἑξάμηνον περίπου χρονικὸν διάστημα καθ᾽ ὃ ὁ ῞Ηλιος παραμένει συνεχῶς κάτωθεν τοῦ ὁρίζοντος παρατηρητοῦ ἱσταμένου ἐπὶ τοῦ πόλου· ‖ πολικὸν φῶς ἢ σέλας ὀνομασία κοινὴ τοῦ βορείου καὶ νοτίου σέλαος· ‖ πολικὸν ρεῦμα θαλάσσιον ρεῦμα διευθυνόμενον πρὸς τὸν πόλον ἢ ἐξ αὐτοῦ ἀναχωροῦν· ‖ πολικαὶ χῶραι αἱ περὶ τοὺς πόλους τῆς γῆς ἐκτάσεις ὁριζόμεναι οὐχὶ ὑπὸ τῶν πολικῶν κύκλων, ἀλλ᾽ ὑπὸ ὁρίων ρυθμιζομένων ὑπὸ πολλῶν παραγόντων, ἰδ. δὲ ὑπὸ τοῦ φυσικοῦ φαινομένου τῶν πάγων· ‖ πολικὴ ἀπόστασις ἡ ἀπόστασις οὐρανίου σώματος ἀπὸ τοῦ Β. Πόλου τῆς οὐρανίου σφαίρας, μετρουμένη ἐπὶ τοῦ ὡριαίου κύκλου τοῦ διερχομένου διὰ τοῦ σώματος τούτου· ‖ πολικὴ ταλάντωσις ἡ μετάθεσις τῶν γηΐνων πόλων περὶ τὴν μέσην θέσιν αὐτῶν, συνεπείᾳ τῆς μεταθέσεως τοῦ ἄξονος περιστροφῆς τῆς Γῆς ἐν τῷ ἐσωτερικῷ αὐτῆς· ‖ πολικαὶ κύκλοι δύο κύκλοι τῆς γηΐνης σφαίρας παράλληλοι πρὸς τὸν ἰσημερινὸν αὐτῆς καὶ κείμενοι εἰς ἀπόστασιν περίπου 23° 27′ ἀπὸ τοῦ ἐντὸς αὐτῶν περικλειομένου πόλου· ‖ πολικὸν ἔτος μέγα χρονικὸν διάστημα συγκείμενον ἐκ μιᾶς πολικῆς ἡμέρας καὶ νυκτός· ‖ πολικοὶ πάγοι ὄγκοι πάγου καλύπτοντες τὴν ξηρὰν καὶ τὰς θαλάσσας τῶν πολικῶν χωρῶν· ‖ πολικὸν ὕψος τὸ ὕψος, ἤτοι ἔξαρμα τοῦ πόλου ὑπὲρ τὸν ὁρίζοντα τοῦ παρατηρητοῦ, δηλ. ἡ γωνία, ἣν σχηματίζει ὁ ἄξων τοῦ κόσμου μετὰ τοῦ ὁρίζοντος ἐν ἑκάστῳ τόπῳ· ‖ πολικὸς ἄξων νοητὴ εὐθεῖα συνδέουσα τοὺς δύο πόλους τῆς οὐρανίου σφαίρας καὶ καλουμένη ἄξων τοῦ κόσμου· ‖ πολικὸς (ἀστὴρ) ὁ α ἀστὴρ τῆς μικρᾶς ἄρκτου ἔχων ἀπόκλισιν 88° 55′ 43″ ἤτοι ἀπέχων τοῦ Βορείου πόλου μόλις 1° 4′ 17″, ὅστις ὡς ἀστὴρ πρώτου μεγέθους ὢν λίαν εὐδιάκριτος χρησιμεύει ὡς δείκτης τῆς θέσεως τοῦ βορείου πόλου τῆς οὐρανίου σφαίρας, δημ. ἄστρο τῆς τραμουντάνας· 2) ζῳολ. πολικὸν κύτταρον τὸ ἓν ἐκ τῶν τεσσάρων μικρῶν κυττάρων, εἰς ἃ διαιρεῖται τὸ γόνιμον ᾠάριον.

πολικότης-ητος (ἡ) νεώτ. βιολ. ἡ ὕπαρξις διαφόρων ἰδιοτήτων εἰς δύο καὶ ἐπὶ μᾶλλον ἢ ἧττον ἐκ διαμέτρου ἀντίθετα σημεῖα (οἱονεὶ πόλους) ὀργανικοῦ ἢ ἀνοργάνου σώματος.

πόλινδε ἐπίρρ. ἐπ. εἰς ἢ πρὸς τὴν πόλιν: ᾽Ιλ.Ε 224 τὼ καὶ νῶϊ πόλινδε σαώσετον.

πολιοεγκεφαλῖτις-ιδος (ἡ) νεώτ. ἰατρ. φλεγμονὴ ταυτόχρονος τῶν φαιῶν πυρήνων τοῦ νωτιαίου μυελοῦ, τοῦ προμήκους, τῆς γεφύρας καὶ τῶν σκελῶν τοῦ ἐγκεφάλου.

πολιοειδής-οῦς-ές σχόλ. ὁ ὑπόφαιος, ὑπόλευκος, ἀσπρειδερός: Σχόλ.Νίκ.᾽Αλεξ.126.

πολιόθριξ-τριχος (ὁ,ἡ) μτγν. ὁ ἔχων τὰς τρίχας τῆς κεφαλῆς πολιάς, τὴν κόμην λευκήν: Στράβ. 7,2,3 προμάντεις ἱέρειαι πολιότριχες.

πολιοκόρσης (ὁ) μσν. ὁ πολιοκρόταφος βλ.λ.: Νικ.Χων.Χρον.160Α.

πολιόκρᾱνος-ον μτγν. ὁ πολιὸς τὴν κεφαλήν: Χρησμ.Σιβ.8,50 ἔσσετ᾽ ἄναξ πολιόκρανος.

πολιοκρόταφος-ον ποι. ὁ πολιοὺς τοὺς κροτάφους, πολιὰς τὰς παρὰ τοὺς κροτάφους τρίχας ἔχων: ᾽Ιλ.Θ 518 παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας, ῾Ησίοδ.῎Εργ.181, ᾽Αλεξ.260· ‖ κ. ἐπὶ τοῦ γήρατος: Βακχ.ἀπ.21,2.

πολιομυελῖτις-ιδος (ἡ) νεώτ. λοιμώδης νόσος ἀπαντῶσα σποραδικῶς ἢ καὶ ἐπιδημικῶς, καὶ προσβάλλουσα τὴν πολιὰν οὐσίαν τοῦ νωτιαίου μυελοῦ καὶ δὴ τὰ πρόσθια κέρατα αὐτῆς, ἤτοι τὰ κινητικὰ κέντρα τῶν μυῶν τοῦ σώματος, ἐπερχομένης παραλύσεως.

πόλιον (τὸ) τὸ ποῶδες πολυετὲς φαρμακευτικὸν φυτὸν τεύκριον βλ.λ. τὸ πόλιον, δημ. ἀμάραντο, παναγιόχορτο, τῆς ἀγάπης τὸ βοτάνι, πόλιο τοῦ βουνοῦ: Θεόφρ.Φ1 2,8,3, αὐτ.1,10,4, αὐτ.5,10,5, Νίκ. Θηρ.64, ᾽Ορφ. ᾽Αργ.919, Διοσκ.3,110, Γαλ.6,731· 2) πόλιον θαμνωδέστατον τὸ φυτὸν τεύκριον βλ.λ. τὸ κρητικόν: Διοσκ.3,110· 3) τὸ φυτὸν ἕρπυλλος βλ.λ.: ΨΔιοσκ.3,38.

πολιοπλόκᾰμος-ον μτγν. ποι. ὁ ἔχων τοὺς πλοκάμους τῆς κόμης πολιούς, ἀσπρομάλλης: Κόϊντ.14,14, Χρησμ.Σιβ.11,68.

πολιοπώγων-ωνος (ὁ) μσν. ὁ πολιὸν πώγωνα, λευκὰ γένεια ἔχων, ἀσπρογένης: ᾽Ισαὰκ Πορφ. ἐν ᾽Αλλάτ.᾽Εξηγ.307.

πολιόρκησις-εως (ἡ) μσν. ἡ πρᾶξις τοῦ πολιορκῶ, τὸ πολιορκεῖν, πολιορκία: Γ᾽Ακροπ.Χρον.96Β.

πολιορκητήριος-α-ον μτγν. ὁ πολιορκητικὸς βλ.λ.: ᾽Ονήσανδρ.42,3 πολιορκητήριαι μηχαναί.

πολιορκητής (ὁ) κ. νεώτ. κ. δημ. ὁ πολιορκῶν, ἀποκλείων διὰ πολιορκίας πόλιν ἢ φρούριον, ὁ ἀποκλείων ἰδ. τὴν εἰσκομιδὴν ἐφοδίων· ὅθ. ὁ ἐκπολιορκῶν, κυριεύων πόλιν, ἐπών. τοῦ Δημητρίου, υἱοῦ τοῦ ᾽Αντιγόνου: Φιλόδ.῞Ομ.550, Διόδ.Σ 20,92, Πλούτ.Δημήτρ.42 ὁ μὲν γὰρ Πολιεύς, ὁ δὲ Πολιορκητὴς ἐπίκλησιν ἔσχεν.

πολιορκητικός-ή-όν μτγν. κ. νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν πολιορκίαν, ὁ τῆς πολιορκίας: Πολύβ.1,58,4 ταῖς πολιορκητικαῖς ἐπινοίαις καὶ βίαις χρησάμενοι· 2) ὁ χρήσιμος πρὸς διεξαγωγὴν πολιορκίας: Στράβ.16,1,24 εἶναι καὶ πολιορκητικῶν ὀργάνων ἔμπειροι, Διόδ.Σ 20,103, Ποσειδ.36J, - πολιορκητικὸν μηχάνημα· ‖ πολιορκητικά (τὰ) τίτλος πραγματείας περὶ πολιορκητικῆς τέχνης τοῦ ᾽Απολλοδώρου τοῦ Δαμασκηνοῦ· 3) νεώτ. τὸ θηλ. πολιορκητικὴ (τέχνη) ὡς οὐσ. κλάδος τῆς πολεμικῆς τέχνης ἀφορῶν εἰς τὰ τῆς πολιορκίας ἢ καὶ ἀμύνης κατὰ τῶν πολιορκούντων τόπον τινά.

πολιορκία (ἡ) κ. μσν., νεώτ. κ. δημ., ἰων. -ίη ὁ διὰ στρατοῦ ἢ διά τε στρατοῦ καὶ στόλου ἀποκλεισμὸς ὠχυρωμένης θέσεως, ἧς ἐπιδιώκεται ἡ κατάληψις, ὅθ. κ. τὸ σύνολον τῶν πολεμικῶν ἐπιχειρήσεων τῶν δυνάμεων τούτων πρὸς πραγμάτωσιν τοῦ ἐν λόγῳ σκοποῦ: ᾽Ηρ.1,81 τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη, αὐτ.190, αὐτ.5,34, ᾽Ανδοκ. 1,73, Θουκ.2,78, - ἡ πολιορκία τῆς Τροίας διήρκεσε δέκα ἔτη· ‖ νεώτ. κατάστασις πολιορκίας ἡ ὑπὸ τῆς κυβερνήσεως διατασσομένη προσωρινὴ ἀναστολὴ ὡρισμένων συνταγματικῶν ἐλευθεριῶν καὶ λῆψις ἄλλων ἐξαιρετικῶν μέτρων ἀσφαλείας εἰς περιπτώσεις ἐξαιρετικῶς κινδυνώδεις διὰ τὴν χώραν, οἷος ὁ ἐξωτερικὸς πόλεμος, ἡ στάσις: ἡ χώρα ἐκηρύχθη εἰς κατάστασιν πολιορκίας· 2) νεώτ. κ. δημ. μτφ. περίσφιγξις τόπου τινὸς ὑπὸ συνωστιζομένου πλήθους: πολιορκία τῆς θυρίδος τοῦ ταμείου θεάτρου - τῶν ἀρτοπωλείων· ‖ ὁμ. νεώτ. κ. δημ. μτφ. τὸ καραδοκεῖν, τὸ πα-

ραφυλάττειν τι : Παπαντ.᾿Αγ.῞Ορ.45 **τὸ ἄβατο βρίσκεται μέσα σὲ πολυχρόνια καὶ πολυμήχανη πολιορκία**· **3**) ὁμ. **ἐρωτικὴ πολιορκία** ἄμεσος καὶ διαρκὴς παρακολούθησις γυναικὸς ὑπὸ νέου ἐπὶ τῷ τέλει τῆς συνάφεως ἐρωτικῶν σχέσεων· **4**) μτγν. ὁμ. μτφ. ἡ μετὰ φορτικότητος ἐνόχλησις : Πλούτ.Σύλλ.25 [δ.ἀνάγν.].

πολιορκικός-ή-όν μσν. ὁ τῆς πολιορκίας, πολιορκητικός : Γ Παχυμ.Βἰ.᾿Ανδρόν.Παλ.421 **μηχάνημά τι πολιορκικόν**

πολιορκῶ-έω [πόλις, ἕρκος] κ. μσν., νεώτ. κ. δημ., μέλλ. -ήσω (Ξεν.ΚΠ 7,5,12), ἀόρ. -ησα [᾿Αριστφ. Λυσ.281, Θουκ.1,61], μέσ. μέλλ. μτ. παθ. σημ. **-ήσομαι** [῾Ηρ.5,34, αὐτ.8,49, Θουκ.3,109, Ξεν.῾Ελλ.7,5,18, αὐτ.ΚΠ 6,1,15), παθ. μέλλ. **-ηθήσομαι** [αὐτ.῾Ελλ.4,8,5), παθ. ἀόρ. **ἐπολιορκήθην** (᾿Ισοκρ.6,57), παρακ. **πεπολιόρκημαι** [Θουκ.7,75 **ἐκ-**], δημ. μτχ. **πολιορκημένος,** ἀποκλείω διὰ στρατιωτικῶν δυνάμεων ὠχυρωμένην τινὰ θέσιν ἐκ τῶν πέριξ, ὅπως ἐπιτύχω τὴν ἅλωσιν ἢ παράδοσιν αὐτῆς, περικλείω διὰ στρατευμάτων πόλιν, περιβάλλω, ζώνω αὐτὴν ὅπως ἀναγκάσω νὰ παραδοθῇ : ῾Ηρ.1,17 **ἐπολιόρκησε τὴν Μίλητον τρόπῳ τοιῷδε,** αὐτ.154, ᾿Αριστφ. Σφ.685, αὐτ.Λυσ 281, ᾿Ισοκρ.6,40 **τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλεισμένων διαφθαρῆναι,** Πλούτ.Καῖσ.39 **οὐ παύσονται πολιορκοῦντες τὸν Πομπήϊον,** Καισάρ.Δαπ. ἐν Σόθ.3,14 **ἐπῆγεν εἰς τὴν Καμενίτζαν καὶ τὴν ἐπολιόρκησε**· ‖ κ. παθ. περικλείομαι, περιζώννυμαι ὑπὸ στρατιωτικῶν δυνάμεων, διατελῶ ἐν καταστάσει πολιορκίας : ῾Ηρ.1,81 **ἐξέπεμπε τὴν ταχίστην δέεσθαι βοηθέειν ὡς πολιορκεομένου Κροίσου,** αὐτ.26, Θουκ.3,109 **ἀπορῶν . . ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται,** Ζαλοκ.60,19 **ἀνεκοινώθ᾿ ἡ συμφορὰ τῶν πολιορκημένων εἰς πάντας τοὺς πολεμιστάς**· ‖ φρ. **οὐ δύναμαι πολιορκεῖσθαι** δὲν δύναμαι νὰ ὑποφέρω τὴν πολιορκίαν, δὲν ἀντέχω εἰς αὐτήν : Θουκ. 3,52 **οὐδὲ δυνάμενοι πολιορκεῖσθαι ξυνέβησαν τοῖς Πελοποννησίοις**· ‖ ἐπὶ πλοίων, στενῶς περιζώννυμαι, ἀποκλείομαι : ᾿Ισοκρ.4,142 **περιεῖδε τὸ ναυτικὸν . . ὑπὸ τριήρων ἑκατὸν μόνων πολιορκούμενον**· **2**) ὁμ. τὸ παθ. ἐπὶ ῥεύματος, ἐπὶ ποταμοῦ, περιφράττομαι ὑπὸ προχώματος, μολώνομαι : Πλάτ.Πρωτ.340Α **Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ ᾿Αχιλλέως**· **3**) μτφ. περικλείω, ἐγκλείω, στενοχωρῶ : Πορφ.Χριστ.23 **πολιορκεῖν τῆς ψυχῆς τὸ φρόνημα**· ‖ κ. παθ. στενοχωροῦμαι: Ξεν.᾿Απομν.2,1,13, Πλάτ.᾿Αλκ.2,142Α **ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν οὐδὲν ἔλαττω τῆς ὑπὸ τῶν πολεμίων,** Πλούτ.Καῖσ.39 **πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς ὅπλοις πολιορκῶν,** Πάπ.· **4**) **πολιορκῶ περί τινος** στενοχωρῶ, πιέζω τινὰ ἀπαιτῶν τι : αὐτ. **πολιορκεῖν περὶ ἀργυρίου**· **5**) τὸ παθ. ἀποφράσσομαι, ὑφίσταμαι ἀπόφραξιν : Διοσκ.5,6,13.

παλιός-ά-όν κ. μσν. κ. νεώτ., ποι. κ. **-ός-όν** [᾿Ιλ. Υ 229, ᾿Οδ.Ε 410, Εὐρ.᾿Ανδρ.348], ἐπὶ τριχῶν, τριχώματος, ὑπόλευκος, φαιός, τεφρός, ἀσπρειδερός, φαρός, γκρίζος : ᾿Ιλ.Κ 334 **ἕσσατο δ᾿ ἔκτοσθεν ῥινὸν πολιοῖο λύκοιο,** ᾿Επιγρ.· ‖ κ. ἐπὶ πτερώματος : ᾿Αριστφ.῎Ορν.967 **ἀλλ᾿ ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι**· ‖ κ. ἐπὶ τοῦ χρώματος τοῦ σιδήρου : ᾿Ιλ.Ι 366 **ἠδὲ γυναῖκας εὐζώνους πολιόν τε σίδηρον,** ῞Υμν.῾Ερμ.41, Εὐρ.῾Ηρακλ. 758 **κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ**· ‖ κ. ἐπὶ τοῦ χαλκοῦ : Πινδ.Π 3,48 **πολιῷ χαλκῷ μέλη τετρωμένοι**· ‖ κ. ἐπὶ τῆς ἀφροεσσης ἢ τῆς γλαυκῆς θαλάσσης, ὑπόλευκος, φαρὸς ἢ τελείως λευκός, ὁλόλευκος, κάτασπρος : ᾿Ιλ.Δ 248 **ἔνθα τε νῆες εἰρύατ᾿ εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης,** αὐτ. Ο 190, ᾿Αλκ.51, Σοφ.᾿Αντ.335, ᾿Αριστφ.῎Ορν.350 **οὔτε πολιὸν πέλαγος ἔστιν ὅτι δέξεται τώδ᾿ ἀποφυγόντε με**· ‖ κ. ἐπὶ τοῦ γάλακτος : Κόϊντ.10,135· ‖ ἰδ. ἐπὶ τῶν τριχῶν τῆς κεφαλῆς τοῦ ἀνθρώπου ἢ καὶ τοῦ πώγωνος : ᾿Ιλ.Χ 74 **ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον . . αἰσχύνωσι κύνες,** ᾿Οδ.Ω 317· ‖ τὸ θηλ. κτ. πληθ. **πολιαί** [τρίχες] ὡς οὐσ. αἱ λευκαὶ τρίχες : Πινδ.Ο 4,25 **φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαὶ θαμά,** ᾿Αριστφ. ῾Ιππ.520 **ἅμα ταῖς πολιαῖς κατιούσαις** [ἤτοι ἀπὸ τῶν κροτάφων πρὸς τὸν πώγωνα], ᾿Αριστλ.ΖΓ 722a,7, αὐτ.Πρ.898a,31, παροιμ. φρ. **ἐν** Πάπ. **ἕως τὸ δὴ λεγόμενον πολιᾶς σχῇ**· ‖ κτ. ἐπέκτ. κ. ἐπὶ τῶν τριχῶν τοῦ στήθους : ᾿Αλκ.Συμπλ. 20,2· **2**) κ. νεώτ. ἐπὶ προσ., ὁ πολιόθριξ, ὁ πολιὰς ἢ λευκὰς τρίχας ἔχων : ᾿Οδ.Ω 499, ῾Ησίοδ.Θ 271 **Γραῖαι, ἐκ γενετῆς πολιαί,** Σοφ.ΟΤ 182 **ἐν δ᾿ ἄλοχοι πολιαί τ᾿ ἔπι ματέρες . . ἀχὰν παραβώμιον . . ἐπιστενάχουσιν,** Εὐρ.῾Ικ.35, ᾿Αριστφ.᾿Αχ. 600, αὐτ.610, αὐτ.692, Πλάτ.Παρμ.127Β **τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα δὴ πρεσβύτην εἶναι σφόδρα πολιόν,** ᾿Αριστλ.ἀπ.235, Καλλ.ἀπ.423· ‖ κ. ὡς χαρακτηριστικὸν τῆς γεροντικῆς ἡλικίας : Πινδ. Ι 6(5),15 **εὔχεται . . γῆράς τε δέξασθαι πολιὸν ὁ Κλεονίκου παῖς,** Εὐρ.Βάκχ.258 **εἰ μή σε γῆρας πολιὸν ἐξερρύετο**· ‖ κ. συνεκδ. **πολιά κοιλία** γεροντική, γραίας κοιλία, ἢ τιμία, ἔντιμος : Πινδ.Ρ 4,98 **καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;**· ‖ κ. **πολιὸν δάκρυον** τὰ γεροντικά, τῶν γερόντων τὰ δάκρυα : Εὐρ.῾Ηρ.1209 **γόνυ καὶ χέρα προσπίτνων πολιόν τε δάκρυον ἐκβαλών**· **3**) μτφ. παλαιός, ἀρχαῖος : Αἰσχ.῾Ικ. 673 **τὸν ξένιον δ᾿ ὑπερτάτως, ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ** [Βερναρδ.Γρ. «κατὰ παλαιὸν νόμον διευθύνει, κυβερνᾷ»], Εὐρ.᾿Ηλ.701 **κληδὼν ἐν πολιαῖσι μένει φάμαις,** Πλάτ.Τίμ.22Β **παλαιὰν δόξαν οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν,** ᾿Ιουλ.Λόγ.2, 82Β **πλοῦτος . . χρόνῳ πολιός,** Στοβ.126,5· **4**) ὁμ. μτφ. λευκός, φωτεινός, λαμπρός : ῾Ησίοδ.῎Εργ.477 **εὐοχθέων δ᾿ ἵξεαι πολιὸν ἔαρ,** αὐτ.492· ‖ ἐπὶ ἀτμοσφαίρας, ἀέρος, διαυγής, αἴθριος, καθαρός : Εὐρ.᾿Ορ.1376 **πᾷ φύγω, ξέναι, πολιὸν αἰθέρ᾿ ἀμπτάμενος,** ᾿Απολλ.Ρ 3,275, Κόϊντ.2,554.

πολιόσφυρος-ον ποι. ὁ ὑπόλευκα σφυρὰ ἔχων : Πινδ.Π 2,45 **ὃς ἵπποισι . . ἐμίγνυτο πολιοσφύροις** [δ.γρ. ἐμίγνυτ᾿ ἐν Παλίου σφυροῖς].

πολιότης-ητος [ἡ] κ. νεώτ. ἡ ἰδιότης τοῦ πολιοῦ βλ.λ., τὸ νὰ εἶναί τι ὑπολεύκου χρώματος, φαιότης : ᾿Αριστλ.ΖΓ 780b,6, αὐτ.784a,30.

πολιότριχος-ον μτγν. ὁ πολιόθριξ βλ.λ : ᾿Οππ. Κυν.3,293 **λύκων . . πολιότριχα πέντε γένεθλα.**

πολιοῦχος-ον [1] [ἔχω] κ. μσν. κ. νεώτ., ἐπ. **πολιήοχος** [᾿Απολλ.Ρ 1,312], δωρ. **πολιάοχος** [Πινδ.Ο 5, 10], κ. συνηρ. **πολιᾶχος** [᾿Επιγρ.Σπάρτης] κ. **πολίοχος** [Εὐρ.Ρῆσ.166, αὐτ.821], ὁ προστατεύων πόλιν τινά, ὁ ὑπὸ τὴν προστασίαν του ἔχων αὐτήν, προστάτης, ὑπερασπιστὴς πόλεως : αὐτ.821 **μέγ᾿ ἄρ᾿ ἐμοὶ μέγ᾿, ὦ πολίοχον κράτος, κακὸν ἔμολεν,** ᾿Ισυλλ.16 **οἷς πολιοῦχος ὑπὸ στέρνοις ἀρετά τε καὶ αἰδώς**· ‖ συχνότ. ὡς ἐπίθετον τῆς προστάτιδος θεότητος πόλεώς τινος· πρβλ. Πολιεύς, Πολιάς : Πινδ.Ο 5,10, ῾Ηρ.1,160 **ἐξ ἱροῦ ᾿Αθηναίης πολιούχου ἀποσπασθεὶς ὑπὸ Χίων ἐξεδόθη,** ᾿Αριστφ.῾Ιππ.581, αὐτ.Νεφ.602, Πλάτ Νόμ.921C **Δία δὲ πολιοῦχον καὶ ᾿Αθηνᾶν,** ᾿Απολλ.Ρ 1,312· ‖ κ. ἐπὶ πάντων τῶν θεῶν : Αἰσχ.᾿Επτ.312 **πρὸς τάδ᾿, ὦ πολιαῦχοι θεοί, τοῖσι . . ῥίψοπλον ἄταν ἐμβαλόντες,** αὐτ.822· ‖ μσν. κ. νεώτ. ἐπὶ ἁγίου: Μηναῖ.12,5 ῎Ορθρ.᾿Ωδ.7,3 **οἰκιστήν σε καὶ κτίστην καὶ πολιοῦχον προβαλλομένη σοφέ.**

πολιοῦχος-ον [2] [πολιός] πάπ. ὁ ἔχων πολιὰς τρίχας, ὁ ἔχων κόμην πολιάν.

πολιουχῶ-έω μσν. ἔχω ὑπὸ τὴν προστασίαν μου πόλιν τινά, εἶμαι πολιοῦχος, προστάτης πόλε-

ως : Στουδ.Θεόδ.800 [ἔκδ.Mi.] **παλιούχησόν με καὶ πολυανθρωπισθήσομαι.**

πολιοφάγος [ὁ] μτγν. γέρων ἄσωτος : Παλλαδ. Λαυσ.945, αὐτ.933A **πολιοφάγε, κοιλιόδουλε.**

πολιοφῦλᾰκῶ-έω μτγν. συναθροίζω, συνάγω, μαζεύω τὸν στρατὸν ἐντὸς πόλεως : Πολύβ 18,37,4 **μὴ . . τῆς ἐλπίδος ἀντιλαμβανόμενος ἐπὶ τὸ πολιοφυλακεῖν ὁρμήσῃ καὶ τρίβειν τὸν πόλεμον.**

πολιόφυλλον [τὸ] μσν. εἶδός τι πόας : Ἱππιατρ. 31 (δ.ἀνάγν. πολιουφύλλα = πολίου φύλλα), αὐτ.32· πρβλ. πολίου **φύλλον** ἐν αὐτ.Γεωπ.16,9,2.

πολίοχος-ον ποι. τ. τοῦ πολιοῦχος βλ.λ.

πολιόχρως-ωτος [ὁ,ἡ] ὁ ἔχων πολιὰν τὴν χροιὰν τοῦ δέρματος, πολιὸν δέρμα, ὑπόλευκον ἐπιδερμίδα, σῶμα λευκόν· ὁθ ἐπὶ πτηνῶν, ὁ ἔχων πτέρωμα λευκόν, ὁλόλευκος, χιονάτος : Εὐρ.Βάκχ. 1356 **πολιόχρων κύκνον ;,** Ἀριστφ.ἀπ.137.

πολίπορθος-ον ἐσφ. ἀνάγν. τοῦ πτολίπορθος.

πολιρραίστης [ὁ] [ραίω] μτγν. ὁ πτολίπορθος βλ.λ. : Λυκόφρ.210 **ὁ χιλίαρχος τοῦ πολιρραίστου στρατοῦ.**

πόλις-εως [ἡ] κ. μσν. κ. νεώτ., δημ. **πόλη,** ἐπ. κ. **πτόλις,** ἠλει. **πόλερ** [Ἐπιγρ.], ἐπ., ἰων., αἰολ. κ.δωρ. γενικ. **πόλιος** [Ἰλ.Β 811, Ἡρ.1,26, Ἡρώνδ.2,8, Ἐπιγρ.], ἐπ. κ. ἰων. **πόλεος** [Ἰλ.Φ 567, Ἐπιγρ., Θέογν.776, Αἰσχ.Ἀγ.1167,Σοφ.Ἀντ.162, Εὐρ.Ὀρ.897], κ. **πόληος** [Ἰλ.Γ 395, Θέογν.757, Ἱππῶν.47, Ἀν.Ὀξ.1,361], ἰων κ. πόλεως [Ἐπιγρ. Θάσου, αὐτ.Χίου, Ξενοφ.2, 9, αὐτ.22], π. τραγ. ὡς δισύλλ., κ. **πόλειως** [Ἐπιγρ. Ζελείας], ἐπ. κ. **πτόλιος** [Ἰλ.Δ 514], ἠλει. **πόλιορ** [Ἐπιγρ.], δημ. **πόλης,** δοτ. **πόλει** [Ἰλ.Ε 686], ἐπ. κ. ἰων. **πόληι** (αὐτ.Γ 50, Ἐπιγρ.Ἰασοῦ), κ. **πόλῃ** [αὐτ.], ἰων. κ. **πόλῑ** (Ἡρ.2,60), ἐπ. αἰτ. **πόληα** [Ἡσίοδ.Α 105, Καλλ.Αἴτ.ἐν Πάπ.Ὀξυρ 2080,62], ἀττ. ὀνομ. κ. αἰτ.δυϊκ. **πόλη** [Ἰσοκρ.8,116], κ. **πόλει** [Αἰσχίν.Σωκρ. 8], γενικ. κ. δοτ. **τοῖν πολέοιν** (Ἰσοκρ.4,73), πληθ. ὀνομ. **πόλεις,** ἐπ.κ.ἰων. **πόλιες,** κ. **πόληες** [Ἰλ.Δ 45], γενικ. **πόλεων,** ἐπ. κ. ἰων. **πολίων** [αὐτ.Α 125, Ἡρ.1,6], δοτ.**πόλεσι** ἐπ. κ.δωρ **πολίεα(σ)ι** (Ὀδ. Φ 552, Πίνδ. Π 7,8, Συνθ.Λακ.π. Θουκ.5,77, Ἐπιγρ.Ἐπιδ.], ἰων. κ. **πόλισι** [Ἡρ.1,151], κρητ. **πόλιθι** [Ἐπιγρ.], αἰτ. **πόλεις** [Ἰλ.Β 648] κ. **πόληας** [Ὀδ.Ρ 486, Καλλ.ἀπ.9,70P], ἐπ. κ. ἰων. κ. **πόλιας** [Ἰλ.Δ 308 ὡς τρισύλλ., Ὀδ. 560, Ὀδ.Θ 560, (αὐτ.574 ὡς δισύλλ., Ἡρ 1,142, αὐτ. 2,102], ἰων. κ. **πόλῑς** αὐτ.2,177), ἄθροισμα, σύνολον μεγάλου ἀριθμοῦ οἰκημάτων ἀποτελούντων ἴδιον συνοικισμόν : Ἰλ.Γ 50, αὐτ.Ζ 415 **ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετόωσαν,** Ἡσίοδ.Α 270, Ἡρ.2,178 **τοῖσι ἀπικνευμένοισι εἰς Αἴγυπτον ἔδωκε Ναύκρατιν πόλιν οἰκῆσαι,** Αἰσχ.Ἀγ.1412 **νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοί,** Θουκ.2,15 **ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο,** Πλάτ. Γοργ.456E **τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων,** Ξεν.Ἀν.7,1,23, ΚΔΜατθ.2,23, αὐτ 5,14, αὐτ.8,33, αὐτ. Μᾶρκ.1,33, αὐτ.6,33, αὐτ.Λουκ.7,12, αὐτ.13,22, αὐτ. 14,21 **ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως,** αὐτ.Πράξ.14,13, αὐτ.21,5, αὐτ.Κορ.2,11, 26, αὐτ.Ἀποκ.11,8, Μηναῖ.12,1 Συνξ.Ἀνανίου τοῦ Πέρσου **εἰσάξομέν σε εἰς πόλιν πλήρη φωτός, - πόλις παράλιος - μεσόγειος - πολυάνθρωπος, - αἱ ὁδοὶ τῆς πόλεως·** ‖ συχν. παρατίθεται κ. τὸ ὄνομα τῆς πόλεως κτ. γενικ. : Αἰσχ.Ἀγ.29 **εἴπερ Ἰλίου πόλις ἑάλωκεν,** ΚΔ Πέτρ.2,2,6 **πόλεις Σοδόμων καὶ Γομόρρων·** ‖ κ. μτ. γενικ. τῆς χώρας, εἰς ἣν κεῖται : ΚΔ Λουκ.1,26 **εἰς πόλιν τῆς Γαλιλαίας,** αὐτ.4,31· ‖ κ. κτ. παράθεσιν : Θουκ.4,130 **ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν,** Ξεν.Ἀν.1,2,26 **τήν τε πόλιν τοὺς Ταρσοὺς διήρπασαν·** ‖ μτγν., μσν. κ. νεώτ. **πόλις ἁγία** ἡ Ἱερουσαλήμ : ΠΔ Νε. 11,1 **καθίσαι ἐν Ἱερουσαλὴμ πόλει τῇ ἁγίᾳ·** ‖ **αἰωνία πόλις** ἡ Ῥώμη· ‖ ἁπλῶς **Πόλις,** δημ. **Πόλη** ἡ Κωνσταντινούπολις : Ἀκάθ.Ὕμν.Κοντ. **τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια . . ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε,** Πολίτ.Ἐκλ.Τραγ.4,11 **γιατὶ εἶναι θέλημα Θεοῦ ἡ Πόλη νὰ τουρκέψῃ·** ‖ ἡ γενέθλιος πόλις, ἡ πατρίς : Ὀδ.Α 170 **πόθι τοι πόλις ἠδὲ τοκῆες·** ‖ **ἄκρα πόλις** ἡ **ἀκροτάτη** τὸ ὑψηλότατον καὶ ὀχυρώτατον μέρος τῆς πόλεως τὸ περιτετειχισμένον, ἡ ἀκρόπολις : Ἰλ.Ζ 88 **ἡ δὲ ξυνάγουσα γεραιὰς νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρᾳ,** αὐτ.Υ 52· **2**) ὁθ. ἐν Ἀθήναις καὶ ἀλλαχοῦ συχνότατα ἡ ἀκρόπολις καλεῖται πόλις, τοῦ λοιποῦ μέρους ὀνομαζομένου ἄστεως· Θουκ.2,15 «καλεῖται ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις», Πλούτ.Πελ.18 «τὰς γὰρ ἀκροπόλεις ἐπιεικῶς οἱ τότε πόλεις ὠνόμαζον» : Ἀριστφ.Λυσ.245 **ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει ξυνεμβάλωμεν εἰσιοῦσαι μοχλούς,** αὐτ.Ἱππ. 1073, Θουκ.5,23 **στήλην δ' ἑκατέρους στῆσαι . . τήνδε ἐν Ἀθήναις ἐν πόλει παρ' Ἀθηνᾷ,** αὐτ.47· ‖ **Ἰνάχου πόλις** ἡ ἀκρόπολις τοῦ Ἄργους : Εὐρ. ἀπ.230,6 **ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν·** ‖ κ. ἐπὶ τῆς Καδμείας, τῆς ἀκροπόλεως τῶν Θηβῶν : Πλούτ.Πελ.18 **καὶ διὰ τοῦτο ὁ ἐκ πόλεως λόχος ἐκαλοῦντο·** ‖ κ. ἐπὶ τῆς Ἀλεξανδρείας : Εὐστ.239,13· ‖ ἡ χώρα, ὁ τόπος, ἐν ᾧ ἐγεννήθη καὶ κατοικεῖ τις, πατρίς: Ὀδ.Α 170 **πόθι τοι πόλις ἠδὲ τοκῆες;·** **3**) κράτος, πολιτικὸν συγκρότημα, ὀργανισμὸς πολιτικῶς ἀπηρτισμένος, πολιτεία· πρβλ. Ἀριστλ.Πολιτ 1280b,40 «πόλις ἡ γενῶν καὶ κωμῶν κοινωνία ζωῆς τελείας καὶ αὐτάρκους» : Ἡσίοδ. Ἔργ 240 **πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,** Πίνδ.Π 2, 88, Σιμων.67 **πόλις ἄνδρα διδάσκει,** Σοφ.ΟΤ 22 **πόλις γάρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν ἤδη σαλεύει,** Εὐρ.Φοίν.947· **4**) ἰδ. ἐλευθέρα πολιτεία, ἔχουσα δημοκρατικὸν πολίτευμα, δημοκρατία : Σοφ.Ἀντ.738 **πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός,** Ξεν.ΚΠ 8,2,28· ‖ **τὰ τῆς πόλεως** αἱ ὑποθέσεις τοῦ κράτους, τὰ πολιτικὰ πράγματα, ἡ κυβέρνησις : Πλάτ.Πρωτ.319A **ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν·** **5**) περιληπτ. τὰ πολιτικὰ καθήκοντα, αἱ ὑποχρεώσεις ἀπέναντι τοῦ κράτους, τῆς πολιτείας : Δημ.1121 **ἐπὶ τῷ τὴν πόλιν φεύγειν καὶ τὰ ὄντα ἀποκρύπτεσθαι·** ‖ τὸ δικαίωμα τοῦ πολίτου : Ἀριστφ.Βάτρ.718, Δημ.549 **τὴν πόλιν, τὸ γένος, τὴν ἐπιτιμίαν, τὰς ἐλπίδας** (ὑβρίζειν)· ‖ **ὁ ἐπὶ τῆς πόλεως** ὁ κυβερνήτης τοῦ κράτους, ὁ πολίαρχος : Ἐπιγρ.Κύπρου, Πολύβ.5,39,3· ‖ κ. ἄνευ τοῦ ἄρθρ. : Ἐπιγρ.Ὠρωποῦ· **6**) ἡ χώρα ἡ περί τινα ἀξιόλογον συνοικισμόν, ὡς ἐξαρτωμένη καὶ λαμβάνουσα τὸ ὄνομα ἐξ αὐτοῦ : Ὀδ.Ζ 177 **ἀνθρώπων οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν,** Ἡσίοδ.Α 380, Σοφ.ΟΚ 1533 **χοὔτως ἀδῇον τήνδ' ἐνοικήσεις πόλιν σπαρτῶν ἀπ' ἀνδρῶν,** Λυσ.6,6 **διώχλησε πόλεις πολλάς . . , Σικελίαν, Ἰταλίαν, Πελοπόννησον, Θεσσαλίαν·** **7**) ὁθ. νῆσος κατοικουμένη : Ἰλ.Ζ 230 **Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος,** Πίνδ.Ι 4(5),48 **ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις** [ἡ Σαλαμίς], Αἰσχ Εὐμ.77, Εὐρ.Ἴων 294 **Εὔβοι' Ἀθήναις ἔστι τις γείτων πόλις,** Ἀριστφ.Εἰρ.251· **8**) κ. νεώτ. συνεκδ. τὸ σύνολον τῶν κατοίκων τῆς πόλεως, τῶν πολιτῶν, ὁπότε συχνότ. συνάπτεται μετὰ τῆς λ. **ἄστυ** σημαινούσης τὰς κατοικίας, τὰ οἰκήματα : Ἰλ.Ρ 144 **φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς,** Πλάτ.Λύσ.205C **ἃ δὲ ἡ πόλις ὅλη ᾄδει περὶ Δημοκράτους καὶ Λύσιδος τοῦ πάππου τοῦ παιδός, - ἡ πόλις ὑπεδέχθη ἐνθουσιωδῶς τὸν ἐπιστρέφοντα στρατόν·** ‖ πλῆθος πολιτῶν, πολλοὶ πολῖται : Σοφ.ΟΤ 179 **ὧν πόλις ἀνάριθμος ὄλλυται·** ‖ πάπ. συνέλευσις πολιτῶν· ‖ **στρατηγὸς κατὰ πόλιν ὁ** ἐπὶ τῶν πολιτῶν

στρατηγών, άστικός πραίτωρ, άστυδίκης : Ἐπιγρ. Ῥώμης· **9**) παίγνιόν τι ὁμοιάζον πρὸς τὸ ζατρίκιον : Κρατῖν.56 **πόλιν ἣν παίζουσιν.**

πόλισμα-ατος (τὸ) κ. νεώτ. τὸ κατῳκημένον μέρος, αἱ οἰκοδομαὶ ἐν τῷ συνόλῳ των μιᾶς πόλεως, ὅθ. πόλις· ἂν καὶ πολλάκις διαφέρει ταύτης : Ἡρ.1,98 **τούς Μήδους ἠνάγκασε ἓν πόλισμα ποιήσασθαι,** αὐτ 57, αὐτ 6,6· ‖ κ. ἐπὶ τῆς πόλεως τῶν Θηβῶν : Αἰσχ. Ἑπτ.63 **σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος φάρξαι πόλισμα·** ‖ κ. ἐπὶ τῆς Τροίας : Σοφ.Φιλ.1424· ‖ κ. ἐπὶ τῶν Ἀθηνῶν : αὐτ.ΟΚ 1496, Θουκ 1,10, αὐτ.4,54, Μέν.Σαμ.110 **ὦ πόλι Κεκροπίας χθονός·** **2**) εἰδ. ἡ ἀκρόπολις τῶν Ἀθηνῶν : Δικαίαρχ.Ἰσ1,72.

πόλισμαν (ὁ) (ἀγγλ.) δημ. ἄκλ. κ. **πολισμάνος** ἀστυφύλαξ, ἀστυνομικός.

πολισμάτιον (τὸ) κ. νεώτ. ὑποκορ. τοῦ πόλισμα βλ.λ., μικρὸς συνοικισμός : Ἔφορ.27J, Πολύβ.1,24,12, Στράβ 6,3,9 **κάμπτοντι δὲ τὴν ἄκραν πολισμάτιον Οὔριον,** Ἰώσ.ΑΙ 15,9,6, Πλούτ.Θευ.26.

πολισμός (ὁ) μτγν., μσν. κ. νεώτ. κτίσις, ἵδρυσις, οἰκισμὸς πόλεως : Διον.Ἀλ.Ρωμ.1,57, αὐτ.59 **κατά τὸν πολισμὸν τά Λαουϊνίου,** Ἰω.Λυδ.Ρωμ 1,2 πολισμός τῆς Ῥώμης.

πολισσονόμος-ον (πόλις, νέμω) ποι. ὁ πολιανόμος, ὁ κυβερνῶν πόλιν : Αἰσχ.Χο.864 **πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαίων ἀρχάς τε πολισσονόμους·** ‖ **πολισσονόμος βιοτὰ** ὁ ἐν πόλει βίος, πολιτικός, κοινωνικὸς βίος : αὐτ.Πέρσ 853.

πολισσόος-ον (σῴζω) ποι. ὁ σῴζων, φυλάττων, προστάτης πόλεως, ἢ πόλεων : Ὕμν.Ἄρ.2.

πολισσοῦχος-ον ποι. τ. τοῦ πολιοῦχος βλ.λ. : Αἰσχ.Ἑπτ.69 **ὦ Ζεῦ τε καὶ Γῆ καὶ πολισσοῦχοι θεοί,** αὐτ.185, αὐτ 271, αὐτ.Ἀγ.338· ‖ κ. ἐπὶ ἡρώων αὐτοχθόνων : Ἐπιγρ.Κρήτης **πολισσοῦχος Ἰδομενεύς,** Καλλ.Αἴτ.ἐν Πάπ.Ὀξυρ.2080,79· **2**) ὁ ἐν τῇ πόλει οἰκῶν, κατοικῶν : Αἰσχ.Εὐμ.775 **σὺ καὶ πολισσοῦχος λεὼς πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις·** **3**) μσν. ὁ πολίτης: Χριστόδ.Ἔκφρ.396.

πολιστής (ὁ) (πολίζω) κ. μσν. οἰκιστής, θεμελιωτής, ἱδρυτὴς πόλεως· Πολυδ.9,6 «οἰκιστής, οἰκίζων, πολίζων, οὐ μὴν καὶ πολιστὴς καὶ κτίζων καὶ κτίστης» : Μηναῖ 12,5 Ἑσπερ.Δοξ.Προσομοίων **ἀνεδείχθης . . πολιστὴς τῆς ἐρήμου,** Καισάρ.Δαπ.ἐν Σάθ 3,187 **Κέκρωψ ὁ πρῶτος βασιλεὺς καὶ νομοθέτης καὶ πολιστὴς τῆς Ἀθήνας.**

πολιτάρχης (ὁ) μτγν. κ. νεώτ πολιτικός τις ἄρχων ἐν Θεσσαλονίκῃ : ΚΔΠράξ.17,6 **μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυρον τὸν Ἰάσονα . . ἐπὶ τοὺς πολιτάρχας·** ‖ κ. ἐν τῇ πόλει Λήτῃ : Ἐπιγρ.· ‖ κ. ἐν Αἰγύπτῳ : Πάπ.· **2**) νεώτ. ὄργανον τῆς πολιτείας ἐπὶ κυβερνήτου Καποδιστρίου, οὗ τὸ ἀξίωμα ἀντιστοιχεῖ πρὸς τὸ τοῦ ἀστυνόμου.

πολιταρχία (ἡ) Ἐπιγρ. τὸ ἀξίωμα τοῦ πολιτάρχου βλ.λ.

πολίταρχας (ὁ) μτγν. ὁ πολιτάρχης βλ.λ. : Αἰν.Τακτ.26,12.

πολιταρχῶ-έω Ἐπι ο. κατέχω τὸ ἀξίωμα τοῦ πολιτάρχου : Ἐπιγρ.Θεσσαλονίκης **πολειταρχούντων Σωσιπάτρου καὶ Κλεοπάτρας.**

πολιτεία (ἡ) κ. μσν., νεώτ. κ. δημ., Ἰων. **πολιτηΐη** ἡ σχέσις τοῦ πολίτου πρὸς τὴν πόλιν ἢ τὸ κράτος, ἡ κατάστασις καὶ τὰ δικαιώματα τοῦ πολίτου, πολιτικὰ δικαιώματα : Ἡρ.9,34 **οὗτος ἐμιμέετο Μελάμποδα, ὡς εἰκάσαι, βασιληΐην τε καὶ πολιτηΐην αἰτεόμενον,** Θουκ.6,104, Ξεν.Ἑλλ.1,2,10 **ἐπεὶ ἡ πόλις ἀπωλώλει καὶ πολιτείαν ἔδοσαν,** ΚΔ Πράξ.22,28 **ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην·** ‖ κτ. πληθ. παραχώρησις πολιτικῶν δικαιωμάτων : Ἀριστλ.Ἀθ.54,3 **ἐν ταῖς στήλαις πρὸς ταῖς συμμαχίαις καὶ προξενίαις καὶ πολιτείαις οὗτος ἀναγράφεται·** **2**) ὁ βίος τοῦ πολίτου, ὁ τρόπος τοῦ καθ' ἡμέραν βίου τινός : Ἀνδοκ.2,10, Δημ.399 **οἷς γάρ ἐστ' ἐν λόγοις ἡ πολιτεία, πῶς ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν,** αὐτ. 494· **3**) μτγν. ζωή, βίος : Πολύβ.18,43,6 **ἡ ἐν Βοιωτίᾳ πολιτεία,** ΚΔ Ἐφ.2,12 **ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ·** **4**) ὡς συγκεκρ. τὸ σύνολον τῶν πολιτῶν, πᾶσα ἡ πόλις, ὅλοι οἱ πολῖται : Ἀριστλ.Πολιτ.1292a,34 **δεῖ γὰρ τὸν μὲν νόμον ἄρχειν πάντων, τῶν δὲ καθ' ἕκαστα τὰς ἀρχὰς καὶ ταύτην πολιτείαν κρίνειν·** **5**) κ. δημ. πόλις : Ἐπιγρ., Μηναῖ.12,1 Ὄρθρ.Ὠδ.9,2 **ἐπὶ γῆς ἰσάγγελον πολιτείαν ἔσχες ἀληθῶς,** Γρυπ. Σκ.Τερρ.105,2 **τρισκότεινοι οὐρανοὶ πάν' ἀπ' τὴν Πολιτεία τὴν κοιμισμένη, - ἡ Ἀθήνα εἶν' ἡ ὀμορφότερη πολιτεία τῆς Βαλκανικῆς·** **6**) δημ. κτ. ἐπέκτ. χώρα, τόπος : **αὐτὸς ἔχει γυρίσει τόπους καὶ πολιτεῖες·** **7**) ὁ βίος καὶ αἱ ἀσχολίαι πολιτικοῦ ἀνδρός, διοίκησις, κυβέρνησις : Ἀριστφ.Ἱππ. 219 **ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ,** Θουκ.1, 127 **ἄγων τὴν πολιτείαν ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις,** Ξεν.Ἀπομν.3,9,15, Ὑπερείδ.Εὐξ. 29 **θρασύτατα καὶ ἀσελγέστατα τῇ πολιτείᾳ κεχρῆσθαι·** **8**) μσν. κ. νεώτ. ὁ τρόπος τῆς διαχειρίσεως τῶν κοινῶν, ὅθ. μτφ. ὁ τρόπος καθ' ὃν τις δρᾷ ἢ συμπεριφέρεται : Καισάρ.Δαπ.ἐν Σάθ. 3,24 **κακῆς πολιτείας ἄνθρωπον καὶ μέθυσον, - ἡ πολιτεία ἣν ἀκολουθοῦν σήμερον οἱ βιομήχανοι ἀπέναντι τῶν ἐργατικῶν ἀξιώσεων, - βίος καὶ πολιτεία τοῦ Ἁγίου Ἀντωνίου·** ‖ δημ. φρ. **εἶναι βίος καὶ πολιτεία** ἐπὶ ἀνθρώπων τῶν ὁποίων ἡ ζωὴ ὑπῆρξε περιπετειώδης ἢ ἠθικῶς ὕποπτος **9**) περιληπτ. τὰ μέτρα, τὰ ὁποῖα ἐφαρμόζει ἡ κυβέρνησις : Δημ.254 **ὁ Φίλιππος ἐξηλάθη τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι . ., ὑπ' ἐμοῦ,** αὐτ.314, Αἰσχίν.3,150 **ἡ Κλεοφῶντος πολιτεία,** Στράβ.16,2,46 **ἡ πρὸς Ῥωμαίους ὁμιλία καὶ πολιτεία·** **10**) μτγν. πρᾶξις πολιτική, πολιτικῆς συνέσεως : Ἰώσ.ΒΙ.65· **11**) τὸ κατέχειν δημόσιόν τι ὑπούργημα : Ἐπιγρ.Ἑρμιόνης **πᾶσαν πολιτείαν ἐπιφανῶς ἐκτελέσαι,** αὐτ.Ὀλβίας **ἐν τοῖς τῆς πολιτείας χρόνοις·** **12**) πολιτικὴ σύνταξις, σύστημα πολιτικόν, πολίτευμα : Ἀριστλ.Πολιτ.1289a,15 «πολιτεία ἐστὶ τάξις ταῖς πόλεσιν ἡ περὶ τὰς ἀρχάς» : Ἀντιφ.3,2,1, Θουκ.2,37 **χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους,** Δημ.246 **τὴν ἐλευθερίαν . ., μᾶλλον δὲ καὶ τὰς πολιτείας·** ‖ κ. νεώτ. τὸ σύνολον τῶν θεσμῶν, τὸ εἶδος πολιτεύματος καθ' ὃ κυβερνᾶται χώρα τις : Λυσ.25,8 **ἥτις ἂν ἑκάστῳ πολιτεία συμφέρῃ,** Πλάτ.Πολ.562A, αὐτ.544B, Ἀριστλ.Πολιτ.1293a,37, Αἰσχίν.1,4 **ὁμολογοῦνται τρεῖς εἶναι πολιτεῖαι, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία, - πολιτεία δημοκρατική·** **13**) ἰδ. ἡ καλῶς συντεταγμένη δημοκρατικὴ πολιτεία : Ἀριστλ Πολιτ.1279a,39 «ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ κοινὸν πολιτεύηται συμφέρον καλεῖται πολιτεία» : Ἰσοκρ.4,125 **ταῖς μὲν πολιτείαις πολεμοῦσι τὰς δὲ μοναρχίας συγκαθιστᾶσι,** Δημ.196 **τοὺς τὰς πολιτείας μεθιστάντας εἰς ὀλιγαρχίαν·** ‖ ἐπὶ παντὸς εἴδους διοικήσεως διὰ τῶν πολιτῶν γινομένης, ὀλιγαρχικῆς ἢ δημοκρατικῆς : Ἀριστλ.Πολιτ.1288b,31 **τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν·** ‖ γεν. ἐλευθέρα κοινότης, αὐτόνομος πολιτεία : Ξεν.Ἀθ.1,1 **ὡς εὖ διασῴζονται τὴν πολιτείαν,** Δημ.10 **ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς,** αὐτ.71· **14**) νεώτ. κ. δημ. τὸ ἔδαφος μιᾶς χώρας, ὁ λαὸς αὐτῆς καὶ ἡ κυρίαρχος ἐν ταύτῃ πολιτικὴ ἐξουσία, ἁ. κράτος : **αἱ Ἡνωμέναι Πολιτεῖαι τῆς Ἀμερικῆς, - Κρητικὴ Πολιτεία, - Πολιτεία καὶ Ἐκκλησία·** **15**) νεώτ. κ. μ. ἡ κυβερνητικὴ καὶ νομοθετικὴ ἐξουσία : **ἡ στάσις τῆς πολιτείας ἀπέναντι τῶν ἀγροτῶν.**

πολιτειακός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν πολιτείαν ἢ τὸ πολίτευμα : **ἡ κυβέρνησις θὰ θέση πολιτειακὸν ζήτημα κατά τάς ἐκλογάς** (θὰ ζητήση τὴν ἔγκρισιν τοῦ λαοῦ ἐπὶ μετατροπῆς τοῦ πολιτεύματος)· ‖ ἐπίρρ. **-ῶς.**

πολιτειοκρατία (ἡ) νεώτ. διοικητικὸν σύστημα καθ' ὃ ἡ Ἐκκλησία **εἶναι** ὑποτεταγμένη εἰς τὴν πολιτείαν, τὸ κράτος.

πολιτειοκρατικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν πολιτειοκρατίαν· **2)** ὁ κεκηρυγμένος ὑπὲρ τῆς πολιτειοκρατίας.

πολιτειολογία (ἡ) νεώτ. ἐπιστήμη πραγματευομένη τὴν γένεσιν, διαμόρφωσιν καὶ ἀνάπτυξιν τῶν πολιτειῶν, τῶν πολιτευμάτων.

πολίτευμα-ατος (τό) κ. μσν. κ. νεώτ. ἡ πολιτικὴ διαγωγή, ὁ πολιτικὸς βίος πολίτου ἐν πολιτείᾳ : Λουκ.Πρ.15 **τιμᾶν ἐπὶ τῷ πολιτεύματι τούτῳ δέον·** **2)** τὸ ἔργον τῆς διοικήσεως, πρᾶξις κυβερνητική : Δημ.263 **πάντα τὰ τοιαῦτα προῃρούμην πολιτεύματα,** αὐτ.272· **3)** κτ. πληθ. τὰ ὑπὸ τῆς πολιτείας ἤτοι τῆς κυβερνήσεως λαμβανόμενα μέτρα, διοίκησις τῶν τῆς πολιτείας, ἐπικρατείας τινός, πολιτική : Πλάτ.Νόμ.945D **λυθείσης τῆς τὰ πάντα πολιτεύματα ξυνεχούσης,** Ἰσοκρ.7,78, Δημ.107 **τῶν τοιούτων πολιτευμάτων οὐδὲν πολιτεύομαι,** αὐτ. 263 **ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι καὶ ἐν τοῖς Ἑλληνικοῖς** (εἴς τε τὴν ἐν τῇ πατρίδι καὶ [illegible] τῇ ξένῃ πολιτικήν)· **4)** τὰ πολιτικὰ ἀξιώματα τῶν πολιτῶν πολιτείας τινός, κράτους, ἰδ. τῶν πολιτικῶν ἀνδρῶν αὐτοῦ, πολιτικὴ τέχνη ἢ αἱ πολιτικαὶ διατάξεις : Αἰσχίν.1,86 **ὁ γὰρ αὐτὸς οὗτον ἀνὴρ καὶ πρότερόν τι τοιοῦτον πολίτευμα ἐπολιτεύσατο·** **5)** τὸ συγκεκριμένον τοῦ πολιτεία βλ.λ.(2), εἶδος πολιτείας, διοικητικὸν σύστημα, ἡ κυβέρνησις : Ἀριστλ.Πολιτ.1278b,11, αὐτ.1279a,26, αὐτ.1283b,31 **πρὸς τοὺς κατ' ἀρετὴν ἀξιοῦντας κυρίους εἶναι τοῦ πολιτεύματος·** ‖ **οἱ ἐν πολιτεύματι** οἱ πολῖται : αὐτ.1303b,26· **6)** κ. νεώτ. τὸ πολιτειακὸν καθεστὼς ἑκάστης χώρας τὸ ἐρειδόμενον ἐπὶ τοῦ συντάγματος αὐτῆς : Αἰσχίν.2,172 **τὸ τῆς δημοκρατίας πολίτευμα,** Πολύβ.5,9,9 **τὸ πάτριον πολίτευμα,** αὐτ.4,25,7, αὐτ.1,13,12 **πολιτεύματα ἀκέραια,** Διον.Ἁλ.Ρωμ.1,41 **πολιτεύματα σωφρονικά·** ‖ ἀπολ. **τὰ πολιτεύματα** αἱ ἐλεύθεραι πολιτεῖαι, δημοκρατίαι : Διόδ.Σ 18,69 **τὰ δὲ πολιτεύματα τὴν ἐκ τῆς αὐτονομίας παρρησίαν ἀπέβαλον·** ‖ νεώτ. νομ. τὸ σύνολον τῶν κανόνων τῶν ρυθμιζόντων τὴν ἄσκησιν τῆς πολιτικῆς ἐξουσίας ἔν τινι κράτει· **7)** εἶδος πολιτείας, διακυβερνήσεως, διοικητικοῦ συστήματος : Ἔδικτ. Ἀλεξάνδρου ἐν Ἐπιγρ.Χίου **πολίτευμα** (sic) **εἶναι ἐν Χίῳ δῆμον, - κοινοβουλευτικὸν-δημοκρατικὸν - σοβιετικὸν πολίτευμα·** **8)** τὸ δικαίωμα τοῦ πολίτου, τὰ πολιτικὰ δικαιώματα : Ἐπιστ.Φιλίππου Ε' ἐν Ἐπιγρ.Λαρίσης **ἀξίους τοῦ παρ' ὑμῖν πολιτεύματος·** ‖ κ. μτφ. : ΚΔ Φιλ.3,20 **ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει·** **9)** συγκεκρ. πολιτικὸν σῶμα, σωματεῖον : Ἐπιγρ.Μιλήτου **τὸ πολίτευμα τὸ Μιλησίων,** αὐτ.Σμύρνης· ‖ κυρίαρχον πολιτικὸν σῶμα : Ἀριστλ.Πολιτ.1302b,16,αὐτ. 1332b,31 **τοσούτους τε εἶναι τοὺς ἐν τῷ πολιτεύματι τὸ πλῆθος,** Ἐπιγρ.Κυρήνης **πολίτευμα ἔστω οἱ μύριοι·** ‖ αὐτοκυβέρνητον, αὐτόνομον πολιτικὸν σῶμα, σωματεῖον πολιτικὸν ἑδρεῦον ἐν ξένῃ χώρᾳ : Ἐπιγρ. **Καυνίων τὸ πολίτευμα,** αὐτ. **τὸ πολίτευμα τῶν ἐν Βερενίκῃ Ἰουδαίων,** Πάπ. **τὸ πολίτευμα τῶν Κρητῶν·** **10)** γεν. αὐτόνομον σῶμα, ἑταιρεία : Ἐπιγρ. **τὸ πολίτευμα τῶν γυναικῶν·** ‖ **τὰ πολίτευμά τινος** σωματεῖον πολιτικὸν ἱδρυμένον ὑπὸ προσώπου τινός : αὐτ.

πολιτευτής (ὁ) μτγν., μσν. κ. νεώτ. ὁ ἀναμειγνυόμενος εἰς τὴν πολιτικὴν ζωὴν τοῦ τόπου του, ὁ ἐπιδιώκων ἀρχὴν αἱρετήν, ὁ πολιτευόμενος, ἐνασχολούμενος εἰς τὴν διακυβέρνησιν πολιτείας, ὁ πολιτικὸς ἢ δημαγωγός· πρβλ Μαῖρ.326 «πολιτεύειν καὶ πολιτεύεσθαι λέγεται, πολιτευτὴς οὐ λέγεται, ἀλλὰ δημαγωγὸς παρὰ τοῖς Ἀττικοῖς, πολιτευτὴς ἑλληνικῶς» : Ἀρτεμίδ.Δαλδ.1,79, Εὐσ.Βί. Κωνστ.3,1, Σχόλ.Ἀριστφ.Ἱππ.161, Θωμ.Μάγ.728.

πολιτευτικός-ή-όν μσν. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν πολιτευτήν, ὁ τοῦ πολιτευτοῦ : Μιχ.Ἀκομ.1,302,15 **πολιτευτικὴ μετριοπάθεια,** αὐτ. 2,44,5, αὐτ.47,16 **πολιτευτικὴ φρόνησις,** αὐτ.108,4.

πολιτεύω κ. μσν., νεώτ. κ. δημ., μέλλ. **πολιτεύσω** (Θουκ.1,19, Ξεν.Ἑλλ.2,3,21), δημ. **πολιτέψω** (Παπαδ. Χριστ.Τεμπ.25), παρακ. **πεπολίτευκα,** ἠλει. μτχ. **πεπολιτευκώρ** (Ἐπιγρ.Ἤλιδος), μέσ. **πολιτεύομαι** (Ἀριστφ.Ἱππ.1365, Ξεν.Ἀθ.3,9), ἀόρ. **ἐπολιτευσάμην** (Ἀνδοκ.2,10, Δημ.297), παθ. ἀρ. **ἐπολιτεύθην** Θουκ.6,92, Λυσ.26,5 ἐν-, Ἰσοκρ.5,5), δημ. **(ἐ)πολιτεύθηκα,** παρακ. **πεπολίτευμαι** (Λυσ.25,10, Δημ.176), ζῶ ὡς πολίτης ἢ ἐλεύθερος, διαβιῶ, ζῶ ἐν ἐλευθέρᾳ πολιτείᾳ : Θουκ.2,46 **τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύονται,** αὐτ.3,34,αὐτ.4,114, Ξεν.Ἀν. 3,2,26 **ἐξὸν αὐτοῖς τοὺς νῦν οἴκοι ἀκλήρους πολιτεύοντας ἐνθάδε κομισαμένους πλουσίους ὁρᾶν,** αὐτ.Ἑλλ.1,5,19· ‖ συχνότ. ἐν τῇ σημ. ταύτῃ ἡ χρ. τοῦ μέσ. : Ἀνδοκ.2,10, Ξεν.ΚΠ 1,1,1 **ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι μᾶλλον ἢ ἐν δημοκρατίᾳ,** αὐτ.Ἑλλ.2,4,22, Δημ.132 **ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι·** ‖ κ. κτ. ἀντίθ. πρὸς τὸ μετοικῶ : Λυσ.12,20 **τοιαύτων ἠξίωσαν οὐχ ὁμοίως μετοικοῦντας ὥσπερ αὐτοὶ ἐπολιτεύοντο·** ‖ **κατὰ νόμους πολιτεύω** ζῶ ὑπὸ δημοκρατικὸν **πολίτευμα** ἐν ἀντιθ. πρὸς τὸ εἶμαι ὑπὸ μοναρχίαν : Πολύβ.4,76,2 **Θετταλοὶ γὰρ ἐδόκουν μὲν κατὰ νόμους πολιτεύειν·** ‖ Ἐπιγρ.Ἤλιδος : **πεπολιτευκώρ παρ' ἀμὲ** μετοικῶν· **2)** ὁμ. τὸ μέσ. σχηματίζω πολιτείαν : Εὐρ.ἀπ.21 **εἰ πένης λαὸς . . πολιτεύοιτο πλουσίων ἄτερ·** **3)** κυβερνῶ, διοικῶ κατά τινα ὡρισμένον τρόπον : Θουκ.1,19, αὐτ.3,62 (ἡ πόλις ἡμῖν) **ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα οὔτε κατὰ δημοκρατίαν,** αὐτ.4,130, αὐτ.2,65, Ξεν. Ἑλλ.1,4,13· ‖ μτ. αἰτ. ἐν τῷ μέσ. τ. : Ἀριστφ. Λυσ.573 **ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ' ἂν ἅπαντα,** Δημ.151 **τὰ καθ' αὑτοὺς πολιτεύεσθαι,** αὐτ.226 **ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι,** αὐτ.297· ‖ φρ. **πολιτεύομαι πόλεμον ἐκ πολέμου** καθιστῶ ἀρχὴν τῆς πολιτικῆς τῆς κυβερνήσεως τὸν συνεχῆ πόλεμον : Αἰσχίν.2,177· ‖ κ. παθ. ἐπὶ τῆς πολιτείας, διοικοῦμαι, κυβερνῶμαι : Πλάτ.Πολ.427A, Ἰσοκρ.6,35 **τὰς εὖ πολιτευομένας πόλεις,** Ξεν.Ἀπομν.4,4,16 **ἄνευ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη·** ‖ **τὰ πεπολιτευμένα αὐτοῖς** τὰ ἐν τῇ διοικήσει ὑπ' αὐτῶν πεπραγμένα : Δημ.17· ‖ **τὰ κοινῇ πεπολιτευμένα** τὰ ἐν τῇ διοικήσει ἀπὸ κοινοῦ πεπραγμένα : αὐτ.227· ‖ κ. ἀπολ. ἄγω τὴν πολιτείαν, διοικῶ, κυβερνῶ : Ἀριστφ.Ἱππ.1365 **τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει φράσον,** Λυσ.25,27 **διὰ τοὺς ἀδίκως πολιτευομένους ἐν τῇ ὀλιγαρχίᾳ δημοκρατία γίγνεται,** Δημ.26· **4)** τὸ μέσ. λαμβάνω μέρος ἐν τῇ διοικήσει, τῇ διακυβερνήσει τῆς πολιτείας : Κριτ.45D, Θουκ.2,15 **ἀλλ' αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο,** Δημ.230, Ὑπερείδ.Εὐξ. 27, Ναυσιφ.2· **5)** ὁμ. κ. νεώτ. μετέχω τῆς πολιτικῆς ζωῆς τοῦ τόπου, ἀναμειγνύομαι εἰς τὰ πολιτικὰ πράγματα, εἰς τὴν πολιτικήν : Πλάτ.Πολ.561D **πολλάκις δὲ πολιτεύεται,** Αἰσχίν.1,195 **οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει·** ‖ ἡ μτχ. τοῦ ἐνεστ. **ὁ πολιτευόμενος** ὡς οὐσ. ὁ πράττων τὰ πολιτικά, κυβερνῶν, κυβερνήτης : Δημ 36, αὐτ.749 **ἐσκεμμένως**

καὶ τοῦτ' αὐτὸ πράττοντες . . πολλοὶ τῶν πολιτευομένων· || ὁμ. νεώτ. ὁ πολιτευτὴς βλ.λ. : **ἡ δρᾶσις - ἡ διαφθορά τῶν πολιτευομένων·** **6)** τὸ μέσ. ἔχω ὡρισμένον τινὰ τύπον διακυβερνήσεως, διοικήσεως : Πλάτ.Πολ.568Β, Ἰσοκρ.3,24 **τοὺς ἄριστα τῶν ἄλλων πολιτευομένους,** Ψήφισμα π.Ἀνδοκ.1,83 **κατά τὰ πάτρια πολιτεύεσθαι·** || **οἱ τὴν ἄνισον πολιτείαν πολιτευόμενοι** οἱ ὀλιγαρχικοὶ ἢ οἱ τύραννοι : Αἰσχίν.1,5· **7)** τὸ παθ. γίνομαι πολίτης, ἐγγράφομαι ὡς πολίτης : Διόδ.Σ 11,72 **τοὺς ἐπὶ Γέλωνος πολιτευθέντας'** **8)** τὸ μέσ. ἐν τοῖς ρωμαϊκοῖς χρόνοις, ὑπηρετῶ ὡς δεκάδαρχος ἢ βουλευτὴς Ἰσοπολιτίδων πόλεων : Ἐπιγρ., Πάπ.· **9)** φέρομαι μετὰ πολιτικότητος : Ἐπιγρ.Μεθάνων· || δημ. ἐν τῷ ἐνεργ. τ. : Παπαδ.Χριστ.Τεμπ.25 **τὸ μόνον ἔγκλημά της ἦτο ὅτι ἴσως εἶχε πολιτέψει τὸν κουμπάρον·** **10)** γεν. ἐνεργῶ, συμπεριφέρομαι, δεικνύω τοιαύτην ἢ τοιαύτην συμπεριφοράν : Λυσ.14,42 **ἀδίκως καὶ παρανόμως . . καὶ σφᾶς αὐτοὺς πολιτευόμενοι,** ΠΔ Μακκ.2,11,25 **πολιτεύεσθαι κατά τά ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη,** Ἀριστέ.31, ΚΔ Πράξ.23,1, Πάπ. **πᾶσαν πολιτεύεσθαι, πολιτείαν κατὰ τὸν Ἰουδαϊσμόν·** **11)** τηρῶ διαγωγήν τινα, φέρομαι, διάγω : ΚΔ Φιλ.1,27 **μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, - εἰς τὸ ζήτημα τοῦ συνοικεσίου καλῶς ἐπολιτεύθη ὁ πενθερός·** **12)** δημ. προσποιοῦμαι ὅτι δὲν ἀντιλαμβάνομαι γενομένην ἀπρέπειαν ἢ προσωπικὴν κατ' ἐμοῦ προσβολήν : **τὸν πολιτεύτηκα·** παροιμ. **ἅρπαξε νὰ τρῶς νὰ πίνης, πολιτεύου νἄρχοντύνης** (οἱ ἅρπαγες καὶ οἱ ἐπιτήδειοι πλουτίζουν καὶ ἀναδεικνύονται)· **13)** ὡς νομ. ὅρος, ἐκτελῶ τι κατὰ τὰ εἰωθότα: Ἰουστιν.Νεαρ.66,1 Εἰσαγ. **πολιτεύεσθαι διαθήκας·** **14)** ἐν ἰδιωτικαῖς ὑποθέσεσι, συναλλάσσομαι μετά τινος : Πάπ.· **15)** φέρω τι εἰς πέρας, ἐπιτυγχάνω : Χαρίτ.1,1 **πολιτεύεσθαι συνοδίαν,** αὐτ.2,2 **πολιτεύεσθαι γάμον·** **16)** ρηματ.π. πολίτευμα, πολιτευτής, πολιτεία, πολιτευτέον.

πολιτηΐη (ἡ) ἰων. τ. τοῦ πολιτεία βλ.λ.

πολίτης (ὁ) κ. μσν., νεώτ. κ. δημ., θηλ. **πολῖτις -ιδος** (Σοφ.Ἠλ.1227, Πλάτ.Νόμ.814C, Ἀριστλ.Πολιτ.1275b,32), δημ. **πολίτισσα,** κάτοικος ἢ μέλος πόλεως, πολιτείας, κεκτημένος πολιτικὰ δικαιώματα· πρβλ. Ἀριστλ.Πολιτ.1275a,22 «πολίτης ὁρίζεται τῷ μετέχειν κρίσεως καὶ ἀρχῆς» : Ἰλ.Ο 558, αὐτ.Χ 429 **ἐπὶ δὲ στενάχοντα πολῖται,** Ὀδ.Η 131, Πίνδ.Ο 5,16 **ἢὖ δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν,** Σοφ.Ἀντ.806 **ὦ γᾶς πατρίας πολῖται,** Εὐρ.Βάκχ.271, Ἀντιφ.5,78, Θουκ.3,42 **πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν,** Ἀνδοκ.1,5, ΚΔ Λουκ.15,15 **πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης·** || φρ. **πολίτην ποιῶ** ἢ **ποιοῦμαι** πολιτογραφῶ, κάμνω πολίτην, ἀπονέμω εἴς τινα τὰ δικαιώματα ἐλευθέρου πολίτου : Πλάτ.Πολιτ.293C **ἀναγκαῖον δὴ καὶ πολιτείαν . . ταύτην ὀρθὴν διαφερόντως εἶναι καὶ μόνην πολιτείαν,** Δημ.174 **τιμὴν ὥσπερ ἄλλου του τῶν ὠνίων λαμβάνοντες, ποιεῖσθε πολίτας·** || νεώτ. πᾶν μέλος πολιτείας τινός, ἀσχέτως ἡλικίας καὶ γένους, ἰδιαιτέρως ὁ ἔχων τὸ δικαίωμα τοῦ ἐκλέγειν, τοῦ συμμετέχειν εἰς τὴν ἐκδήλωσιν τῆς βουλήσεως δηλ. ὁ ἐνεργὸς πολίτης· || νεώτ. κ. δημ. κάτοικος πόλεως ἐν ἀντιδιαστολῇ πρὸς τὸν χωρικόν· **2)** ὁ κάτοικος τῆς αὐτῆς πόλεως, συμπολίτης : Σαπφ.Συμπλ.1,14, Αἰσχ.Ἐπτ.1 **Κάδμου πολῖται,** Ἀνδοκ.1,139 **Ἀθηναίων πολῖται,** Πλάτ.Πρωτ.339E, Λυσ.20,12 **διά τοῦτο βλάπτεσθαί ἐστιν ὁ πατὴρ . . , ὅτι ὑμῶν ἐστι πολίτης·** || κ. κτ. τινα κωμ μτφ. : Ἄμφις 36 **οἴνου πολίτης ὢν κρατίστου·** **3)** νεώτ. ὁ ἰδιώτης, κτ. ἀντιδιαστολὴν πρὸς τὰς ἀρχάς : **τὰ ἀστυνομικὰ ὄργανα ἐτραυμάτισαν πολλοὺς τῶν πολιτῶν·** || ὁ μὴ στρατιωτικὸς ἢ κληρικός : **συμπλοκὴ ναυτῶν καὶ πολιτῶν, - αὔριο γίνομαι πολίτης** (ἀπολύομαι τῶν τάξεων τοῦ στρατοῦ)· κ. εὐχή : **καλὸς πολίτης!** ἐπὶ στρατιώτου μέλλοντος ν' ἀπολυθῇ τῶν τάξεων τοῦ στρατοῦ· **4)** νεώτ. **ἀκαδημαϊκὸς πολίτης** φοιτητὴς τοῦ Πανεπιστημίου ἢ σπουδαστὴς τοῦ Πολυτεχνείου· **5)** νεώτ. κ. δημ. **Πολίτης** (ὁ), θηλ. **Πολίτισσα**, ὁ κάτοικος τῆς Πόλης, τῆς Κων/πόλεως, Κωνσταντινουπολίτης : δ.τραγ. **ἄντρα μου πολίτη, πραμάτευτή·** **6)** ὡς ἐπίθ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν πόλιν, ὁ τῆς πόλεως· ὅθ. **θεοὶ πολῖται** πολιοῦχοι θεοί : Αἰσχ.Ἐπτ.253 **θεοὶ πολῖται, μή με δουλείας τυχεῖν·** || **πολίτης δῆμος** ὁ τῆς πόλεως δῆμος: Ἀριστφ.Ἐκκλ.574 **πολίτην δῆμον ἐπαγλαϊοῦσα.**

